ζ'. ὅ τε γραφεὶς κύκλος κέντρῳ μὲν τῷ σαμείῳ, ὅ ἐστιν ἀρχὰ τᾶς ἕλικος, διαστήματι δὲ τᾷ εὐθείᾳ, ἅ ἐστιν πρώτα, πρῶτος καλείσθω, ὁ δὲ γραφεὶς κέντρῳ μὲν τῷ αὐτῷ, διαστήματι δὲ τᾷ διπλασίᾳ εὐθείᾳ δεύτερος καλείσθω, καὶ οἱ ἄλλοι δὲ ἑξῆς τούτοις τὸν αὐτὸν τρόπον.

ιβ'.

Εἴ κα ποτὶ τὰν ἕλικα τὰν ἐν μιᾷ περιφορᾷ ὁποιᾳοῦν γεγραμμέναν ἀπὸ τᾶς ἀρχᾶς τᾶς ἕλικος εὐθεῖαι ἐμπεσῶντι ὁποσαιοῦν ἴσας ποιοῦσαι γωνίας ποτ' ἀλλάλας, τῷ ἴσῳ ὑπερέχοντι ἀλλαλᾶν.

ἔστω ἕλιξ, ἐφ' ἇς αἱ *ΑΒ*, *ΑΓ*, *ΑΔ*, *ΑΕ*, *ΑΖ* ἴσας γωνίας ποιοῦσαι ποτ' ἀλλάλας. δεικτέον, ὅτι τῷ ἴσῳ ὑπερέχει ἁ *ΑΓ* τᾶς *ΑΒ* καὶ ἁ *ΑΔ* τᾶς *ΑΓ* καὶ αἱ ἄλλαι ὁμοίως.

IV. Ea recta, quam in prima circumactione punctum permeauerit, quod in recta fertur, prima uocetur, quam in secunda circumactione idem punctum permeauerit, secunda, ceteraeque eodem modo circumactionum cognomines sint.

V. Spatium autem spirali in prima circumactione descripta rectaque, quae est prima, comprehensum primum uocetur, quod spirali in secunda circumactione descripta rectaque secunda comprehenditur, secundum uocetur, ceteraque deinceps eodem modo nominentur.

VI. Et si a puncto, quod principium spiralis est, recta linea ducitur, quae in eadem eius rectae parte sunt, in quam fit circumactio, praecedentia uocentur, quae in altera parte sunt, sequentia.

VII. Et circulus, cuius centrum est punctum, quod principium spiralis est, radius autem recta, quae est prima, primus uocetur, circulus autem, cuius centrum idem est, radius autem recta duplo maior, secundus uocetur, et ceteri quoque deinceps eodem modo nominentur.

XII.


Si ad spiralem qualibet circumactione descriptam a principio spiralis rectae quotlibet ducuntur aequales angulos inter se efficientes, aequali spatio inter se excedunt.

sit spiralis, in qua rectae AB, $A\Gamma$, $A\Delta$, AE, AZ sint[1]) aequales angulos inter se efficientes. demonstrandum, aequali spatio excedi rectam AB a recta $A\Gamma$, rectam $A\Gamma$ a recta $A\Delta$, ceterasque eodem modo.

1) Fort. scribendum lin. 27: *ἐφ' ἇς* ⟨*τὰ* *A*, *B*, *Γ*, *Δ*, *E*, *Z*, *ἔστω δὲ ἀρχὰ τᾶς ἕλικος τὸ* *A*, *καὶ ἀπὸ τοῦ* *A* *ἐμπιπτέτωσαν*⟩ *αἱ κτλ.*

1 *εὐθεῖα, ἂν*] AC, rectum si B. *μὲν*] ABC, fort. *μέν κα.* 8 *ἐστιν*] A, *ἐστι* C. 11 *καὶ — καλείσθω*] AB, om. C. 14 *τὰ* (pr.)] addidi, om. ABC. *αὐτά*] des. C. *ἐφ' ἃ κα*] addidi, om. AB. *προαγούμενα*] e corr. G, *προαγομενα* A. 15 *θάτερα*] in -*τερα* inc. C. 18 *ἐστιν*] A, *ἐστι* C. 19 *τᾷ*] C, om. A. 22 *ιβ'*] ABC. 23 *κα*] AB, *καὶ* C. *ἕλικα*] CGH, *ελικαν* A. *τὰν ἐν*] scripsi, *τα μεν* ABC. 24 *γεγραμμέναν*] (C), *Basil.*; *γεγραμμενα* AB. 26 *ὑπερέχοντι*] CEG, *υπερεχωντι* A.

ἐν ᾧ γὰρ χρόνῳ ἁ περιαγομένα γραμμὰ ἀπὸ τᾶς ΑΒ ἐπὶ τὰν ΑΓ ἀφικνεῖται, ἐν τούτῳ τῷ χρόνῳ τὸ σαμεῖον τὸ κατὰ τᾶς εὐθείας φερόμενον τὰν ὑπεροχὰν διαπορεύεται, ᾇ ὑπερέχει ἁ ΓΑ τᾶς ΑΒ, ἐν ᾧ δὲ χρόνῳ ἀπὸ τᾶς ΑΓ ἐπὶ τὰν ΑΔ, ἐν τούτῳ διαπορεύεται τὰν ὑπεροχάν, ᾇ ὑπερέχει ἁ ΑΔ τᾶς ΑΓ. ἐν ἴσῳ δὲ χρόνῳ ἁ περιαγομένα γραμμὰ ἀπό τε τᾶς ΑΒ ἐπὶ τὰν ΑΓ ἀφικνεῖται καὶ ἀπὸ τᾶς ΑΓ ἐπὶ τὰν ΑΔ, ἐπειδὴ αἱ γωνίαι ἴσαι ἐντί· ἐν ἴσῳ ἄρα χρόνῳ τὸ κατὰ τᾶς εὐθείας φερόμενον σαμεῖον διαπορεύεται τὰν ὑπεροχάν, ᾇ ὑπερέχει ἁ ΓΑ τᾶς ΑΒ, καὶ τὰν ὑπεροχάν, ᾇ ὑπερέχει ἁ ΑΔ τᾶς ΑΓ. τῷ ἴσῳ ἄρα ὑπερέχει ἅ τε ΑΓ τᾶς ΑΒ καὶ ἁ ΑΔ τᾶς ΑΓ, καὶ αἱ λοιπαί.



ιγ'.

Εἴ κα εὐθεῖα γραμμὰ τᾶς ἕλικος ἐπιψαύῃ, καθ' ἓν μόνον ἐπιψαύσει σαμεῖον.

ἔστω ἕλιξ, ἐφ' ἇς τὰ Α, Β, Γ, Δ, ἔστω δὲ ἀρχὰ μὲν τᾶς ἕλικος τὸ Α σαμεῖον, ἀρχὰ δὲ τᾶς περιφορᾶς ἁ ΑΔ εὐθεῖα, καὶ ἐπιψαυέτω τᾶς ἕλικος εὐθεῖά τις ἁ ΖΕ. φαμὶ δὴ καθ' ἓν μόνον σαμεῖον ἐπιψαύειν αὐτᾶς.

ἐπιψαυέτω γάρ, εἰ δυνατόν, κατὰ δύο σαμεῖα τὰ Γ, Η, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΑΗ, καὶ ἁ γωνία δίχα τετμάσθω ἁ περιεχομένα ὑπὸ τᾶν ΑΗ, ΑΓ, καθ' ὃ δὲ σαμεῖον ἁ δίχα τέμνουσα τὰν γωνίαν τᾷ ἕλικι ποτιπίπτει, ἔστω τὸ Θ. τῷ δὴ ἴσῳ ὑπερέχει ἅ τε ΑΗ τᾶς ΑΘ καὶ ἁ ΑΘ τᾶς ΑΓ, ἐπειδὴ ἴσας γωνίας περιέχοντι ποτ' ἀλλάλας· ὥστε διπλάσιαί ἐντι αἱ ΑΗ, ΑΓ


nam quo tempore recta, quae circumagitur, ab AB ad $A\Gamma$ peruenit, eo tempore punctum, quod in recta fertur, excessum permeat, quo recta ΓA rectam AB excedit, et quo tempore ab $A\Gamma$ ad $A\Delta$ peruenit, eo permeat excessum, quo recta $A\Delta$ rectam $A\Gamma$ excedit. aequali autem temporis spatio recta, quae circumagitur, ab AB ad $A\Gamma$ et ab $A\Gamma$ ad $A\Delta$ peruenit, quoniam anguli aequales sunt; eodem igitur temporis spatio punctum, quod in recta fertur, excessum permeat, quo recta ΓA rectam AB excedit, et quo recta $A\Delta$ rectam $A\Gamma$ excedit. ergo $A\Gamma$ rectam AB et $A\Delta$ rectam $A\Gamma$ aequali spatio excedunt [prop. 1], ceteraeque eodem modo.[1])

XIII.

Si recta linea spiralem contingit, in uno solo puncto continget.

sit spiralis, in qua sint puncta A, B, Γ, Δ, principium autem spiralis sit A punctum, circumactionis uero principium recta $A\Delta$, et recta aliqua EZ spiralem contingat. dico igitur, eam in uno solo puncto contingere.

contingat enim, si fieri potest, in duobus punctis Γ, H, et ducantur rectae $A\Gamma$, AH, angulus autem, qui rectis AH, $A\Gamma$ comprehenditur, in duas partes aequales secetur, et punctum, in quo recta angulum in aequales partes secans in spiralem incidit, sit Θ. aequali igitur spatio recta AH rectam $A\Theta$ excedit et recta $A\Theta$ rectam $A\Gamma$, quoniam aequales angulos inter se efficiunt [prop. 12]; quare $AH + A\Gamma = 2\,A\Theta$.



1) Hanc propositionem citat Pappus IV, 33 p. 234.


4 τᾶς] G, ταν AC. 13 des. C. 14 ΓA] $\Gamma\Delta$ AB, *ag* e corr. B. τᾶς] inc. C. 29 περιέχοντι] E, περιεχουσιν A, περιέχουσι C.

τᾶς $A\Theta$. ἀλλὰ τᾶς ἐν τῷ τριγώνῳ [τᾶς $A\Theta$] δίχα τεμνούσας τὰν γωνίαν μείζονές ἐντι ἢ διπλάσιαι· δῆλον οὖν, ὅτι, καθ' ὃ συμπίπτει σαμεῖον τᾷ ΓH εὐθείᾳ ἁ $A\Theta$, μεταξὺ τῶν Θ, A ἐντι σαμείων· τέμνει ἄρα ἁ EZ τὰν ἕλικα, ἐπειδή τι τῶν ἐν τᾷ $\Gamma\Theta H$ σαμείων ἐντός ἐστι τᾶς ἕλικος. ὑπέκειτο δὲ ἐπιψαύουσα· καθ' ἓν ἄρα μόνον ἅπτεται ἁ EZ τᾶς ἕλικος.

ιδ'.

Εἴ κα ποτὶ τὰν ἕλικα τὰν ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμέναν ποτιπεσῶντι δύο εὐθεῖαι ἀπὸ τοῦ σαμείου, ὅ ἐστιν ἀρχὰ τᾶς ἕλικος, καὶ ἐκβληθέωντι ποτὶ τὰν τοῦ πρώτου κύκλου περιφέρειαν, τὸν αὐτὸν ἑξοῦντι λόγον αἱ ποτὶ τὰν ἕλικα ποτιπίπτουσαι ποτ' ἀλλάλας, ὃν αἱ περιφέρειαι τοῦ κύκλου αἱ μεταξὺ τοῦ πέρατος τᾶς ἕλικος καὶ τῶν περάτων τᾶν ἐκβληθεισᾶν εὐθειᾶν τῶν ἐπὶ τᾶς περιφερείας γινομένων, ἐπὶ τὰ προαγούμενα λαμβανομενᾶν τᾶν περιφερειᾶν ἀπὸ τοῦ πέρατος τᾶς ἕλικος.

ἔστω ἕλιξ ἁ $AB\Gamma\Delta E\Theta$ ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα, ἀρχὰ δὲ τᾶς μὲν ἕλικος ἔστω τὸ A σαμεῖον, ἁ δὲ ΘA εὐθεῖα ἀρχὰ τᾶς περιφορᾶς ἔστω, καὶ κύκλος ὁ ΘKH ἔστω ὁ πρῶτος, ποτιπιπτόντων δὲ ἀπὸ τοῦ A σαμείου ποτὶ τὰν ἕλικα αἱ AE, $A\Delta$· καὶ ἐκπιπτόντων ποτὶ τὰν τοῦ κύκλου περιφέρειαν ἐπὶ τὰ Z, H. δεικτέον, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἁ AE ποτὶ τὰν $A\Delta$, ὃν ἁ ΘKZ περιφέρεια ποτὶ τὰν ΘKH περιφέρειαν.



sed $AH + A\Gamma$ maiores sunt quam duplo maiores recta in triangulo angulum in aequales partes secanti;[1]) adparet igitur, punctum, in quo recta $A\Theta$ in rectam ΓH incidat, inter puncta Θ, A positum esse; quare EZ spiralem secat, quoniam quoddam punctum rectae $\Gamma\Theta H$ intra spiralem est.[2]) at suppositum erat, eam contingere; ergo in uno solo puncto recta EZ spiralem tangit.

XIV.

Si ad spiralem prima circumactione descriptam duae rectae a puncto, quod principium est spiralis, ducuntur et ad ambitum primi circuli producuntur, rectae ad spiralem ductae eandem inter se rationem habebunt, quam arcus circuli inter terminum spiralis terminosque rectarum productarum, qui in ambitu sunt, positi, si arcus a termino spiralis ad praecedentia uersus sumuntur.[3])

sit spiralis $AB\Gamma\Delta E\Theta$ prima circumactione descripta, et principium spiralis sit punctum A, recta uero ΘA principium circumactionis sit, et circulus ΘKH sit primus, ab A autem puncto ad spiralem ducantur rectae AE, $A\Delta$ et ad ambitum circuli producantur ad Z, H. demonstrandum, esse

$$AE : A\Delta = \Theta KZ : \Theta KH.$$

nam ubi circumagitur recta $A\Theta$, adparet, punctum Θ in

1) De hac propositione: duo simul latera cuiusuis trianguli maiora esse quam duplo maiora recta, quae angulum ab iis comprehensum in duas partes aequales secet, cfr. ZMP. XXIV p. 178 nr. 5, Nizzius p. 133, Sturmius p. 403.
2) Cfr. Eucl. III, 16 coroll.
3) Cfr. Pappus IV, 32 p. 234.

1 τᾶς $A\Theta$] ABC; deleo. 2 μείζονές] B, e corr. G, μειζων A; in μεί- des. C. 3 ὅτι] inc. C. συμπίπτει] e corr. G, συμπιπτει το AC. 7 EZ] B, mg. G, EH AC. 11 ἐκβληθέωντι] A, ἐκβληθέων C. 14 ὃν] BCG², ων A. 21 ἁ] des. C. περιφορᾶς] in -ρᾶς inc. C. 27 τὰ] A, τὰς C. 28 ἔχοντι] CEG, εχωντι A.

περιαγομένας γὰρ τᾶς $A\Theta$ γραμμᾶς δῆλον, ὡς τὸ μὲν Θ σαμεῖον κατὰ τᾶς τοῦ $\Theta K H$ κύκλου περιφερείας ἐνηνεγμένον ἐστὶν ἰσοταχέως, τὸ δὲ A κατὰ τᾶς εὐθείας φερόμενον τὰν $A\Theta$ γραμμὰν πορεύεται, καὶ τὸ Θ σαμεῖον κατὰ τᾶς τοῦ κύκλου περιφερείας φερόμενον τὰν $\Theta K Z$ περιφέρειαν, τὸ δὲ A τὰν AE εὐθεῖαν, καὶ πάλιν τό τε A σαμεῖον τὰν $A\Delta$ γραμμὰν καὶ τὸ Θ τὰν $\Theta K H$ περιφέρειαν, ἑκάτερον ἰσοταχέως αὐτὸ ἑαυτῷ φερόμενον· δῆλον οὖν, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἁ AE ποτὶ τὰν $A\Delta$, ὃν ἁ $\Theta K Z$ περιφέρεια ποτὶ τὰν $\Theta K H$ περιφέρειαν [δέδεικται γὰρ τοῦτο ἔξω ἐν τοῖς πρώτοις].

ὁμοίως δὲ δειχθήσεται, καὶ εἴ κα ἁ ἑτέρα τᾶν ποτιπιπτουσᾶν ἐπὶ τὸ πέρας τᾶς ἕλικος ποτιπίπτῃ, ὅτι τὸ αὐτὸ συμβαίνει.

ιε'.

Εἰ δέ κα ποτὶ τὰν ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμέναν ἕλικα ποτιπίπτωντι εὐθεῖαι ἀπὸ τᾶς ἀρχᾶς τᾶς ἕλικος, τὸν αὐτὸν ἑξοῦντι λόγον αἱ εὐθεῖαι ποτ' ἀλλάλας, ὃν αἱ εἰρημέναι περιφέρειαι μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας λαμβανομένας.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ $AB\Gamma\Delta\Theta$, ἁ μὲν $AB\Gamma\Delta\Theta$ ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα, ἁ δὲ $\Theta\Lambda E M$ ἐν τᾷ δευτέρᾳ, καὶ ποτιπιπτόντων εὐθεῖαι αἱ AE, $A\Lambda$. δεικτέον, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἁ $A\Lambda$ ποτὶ τὰν AE, ὃν ἁ $\Theta K Z$ περιφέρεια μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας ποτὶ $\Theta K H$ μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας.

ἐν ἴσῳ γὰρ χρόνῳ τὸ A σαμεῖον κατὰ τᾶς εὐθείας φερόμενον τὰν $A\Lambda$ γραμμὰν διαπορεύεται, καὶ τὸ Θ σαμεῖον κατὰ τᾶς τοῦ κύκλου περιφερείας φερόμενον

ambitu circuli $\Theta K H$ aequabiliter ferri, A autem punctum, quod in recta feratur, rectam $A\Theta$ permeare, et punctum Θ, quod in ambitu circuli feratur, arcum $\Theta K Z$ permeare, A autem rectam AE,[1]) et rursus punctum A rectam $A\Delta$ et Θ arcum $\Theta K H$, utrumque aequabiliter sibi ipsum motum; ergo adparet, esse

$$AE : A\Delta = \Theta K Z : \Theta K H \text{ [prop. 2].}^{2)}$$

eodem autem modo demonstrabimus, etiam si altera rectarum ad spiralem ductarum in terminum spiralis inciderit, idem futurum esse.

XV.

Sin ad spiralem secunda circumactione descriptam a principio spiralis rectae ducuntur, eandem rationem inter se habebunt, quam arcus, quos commemorauimus [prop. 14], adsumpto toto circuli ambitu.

sit spiralis, in qua sit $AB\Gamma\Delta\Theta$, ita ut $AB\Gamma\Delta\Theta$ prima, $\Theta\Lambda EM$ secunda circumactione descripta sit, et ducantur ad spiralem rectae AE, $A\Lambda$. demonstrandum, rectam $A\Lambda$ ad rectam AE eandem rationem habere, quam arcus $\Theta K Z$ adsumpto toto circuli ambitu ad $\Theta K H$ adsumpto toto circuli ambitu.

nam aequali tempore punctum A, quod in recta fertur, rectam $A\Lambda$ permeat, et punctum Θ, quod in ambitu circuli fertur, totum circuli ambitum praetereaque arcum $\Theta K Z$

---

1) Sc. eodem temporis spatio.

2) Neque ἔξω neque τοῖς πρώτοις ab Archimede profectum esse potest; quare uerba inutilia δέδεικται lin. 11 — πρώτοις lin. 12 interpolatori tribuo.

---

4 πορεύεται] C, πεπορευεται A, πεπόρευται G. 10 ἔχοντι] CEG, εχωντι A. 13 ἁ] A, om. C. 14 ὅτι] addidi, om. ABC; cfr. p. 54, 12; 58, 17. 15 συμβαίνει] A, συμβαίνειν CG (τὸ αὐτὸ συμβαίνει om. B). 17 δέ] A, om. BC. 21 λαμβανομένας] fort. scrib. α′ (h. e. ἅπαξ) λαμβανομένας. 22 ἁ (pr.)] A, αἱ C; fort. scribendum τὰ A, B, Γ, Δ, Θ; ἁ $AB\Gamma\Delta\Theta E\Lambda M$ *Torellius.* 24 ποτιπιπτόντων] G, ποτιπίπτοντι CE, ποτιπιπτωντι A. 25 ἔχοντι] CEG, εχωντι A. 29 ἴσῳ] B, οσω AC.

ὅλαν τε τὰν τοῦ κύκλου περιφέρειαν καὶ ἔτι τὰν ΘΚΖ περιφέρειαν διαπορεύεται, καὶ πάλιν τὸ Α σαμεῖον τὰν ΑΕ εὐθεῖαν καὶ τὸ Θ ὅλαν τε τὰν τοῦ κύκλου περιφέρειαν καὶ ἔτι τὰν ΘΚΗ, ἑκάτερον ἰσοταχέως αὐτὸ ἑαυτῷ φερόμενον· δῆλον οὖν, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἁ ΑΛ γραμμὰ ποτὶ τὰν ΑΕ, ὃν ἁ ΘΚΖ περιφέρεια μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας ποτὶ τὰν ΘΚΗ περιφέρειαν μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας.

τὸν αὐτὸν δὲ τρόπον δειχθήσεται, καὶ εἴ κα ποτὶ τὰν ἐν τᾷ τρίτᾳ περιφορᾷ γεγραμμέναν ἕλικα ποτιπεσῶντι εὐθεῖαι, ὅτι τὸν αὐτὸν λόγον ἑξοῦντι ποτ' ἀλλάλας, ὃν αἱ εἰρημέναι περιφέρειαι μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας δὶς λαμβανομένας· ὁμοίως δὲ καὶ αἱ ποτὶ τὰς ἄλλας ἕλικας ποτιπίπτουσαι δείκνυνται, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον, ὃν αἱ εἰρημέναι περιφέρειαι μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας τοσαυτάκις λαμβανομένας, ὅσος ἐστὶν ὁ ἑνὶ ἐλάσσων ἀριθμὸς τᾶν περιφορᾶν, καὶ εἴ κα ἁ ποτιπίπτουσα ἁ ἑτέρα ποτὶ τὸ πέρας τᾶς ἕλικος πίπτῃ.


ιϛʹ.

Εἴ κα τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένας εὐθεῖα γραμμὰ ἐπιψαύῃ, καὶ ἀπὸ τᾶς ἁφᾶς εὐθεῖα γραμμὰ ἐπιζευχθῇ ἐπὶ τὸ σαμεῖον, ὅ ἐστιν ἀρχὰ τᾶς ἕλικος, ἃς ποιεῖ γωνίας ἁ ἐφαπτομένα ποτὶ τὰν ἐπιζευχθεῖσαν, ἀνίσοι ἐσσοῦνται καὶ ἁ μὲν ἐν τοῖς προαγουμένοις ἀμβλεῖα, ἁ δὲ ἐν τοῖς ἑπομένοις ὀξεῖα.

---

3 καὶ τὸ Θ] *Torellius*, κατα το Ε ABC. 5 ἑαυτῷ] C, αυτω A. 6 ἔχοντι] CEG, εχωντι A. ΑΛ] des. C. 7 περιφέρεια] inc. C. 10 εἴ κα] A, ἦν C. 12 ὅτι] *Nizzius*, om.

permeat, ac rursus punctum *A* rectam *AE* permeat et punctum *Θ* totum ambitum circuli praetereaque arcum *ΘKH*, utrumque aequabiliter sibi ipsum motum; ergo adparet, eandem habere rationem *AΔ* : *AE*, quam arcus *ΘKZ* cum toto ambitu circuli ad arcum *ΘKH* cum toto ambitu circuli [prop. 2].



eodem autem modo demonstrabimus, etiam si ad spiralem tertia circumactione descriptam rectae ducantur, eas eandem inter se rationem habituras esse, quam arcus, quos significauimus, cum toto ambitu circuli bis sumpto; et eodem modo etiam rectae ad ceteras spirales ductae eandem rationem habere demonstrabuntur, quam arcus, quos significauimus, cum toto ambitu circuli toties sumpto, quoties indicat numerus uno minor numero circumactionum, etiam si altera rectarum ductarum in terminum spiralis incidat.

XVI.

Si spiralem prima circumactione descriptam linea recta contingit, et a puncto contactus ad punctum, quod principium spiralis est, linea recta ducitur, anguli, quos recta contingens cum recta ad eam ducta efficit, inaequales erunt, et angulus, qui in praecedentibus est, obtusus erit, angulus autem, qui in sequentibus est, acutus.

ABC. **13** *αἱ εἰρημέναι περιφέρειαι*] AB, *ἁ εἰρημένα περιφέρεια* C. **16** *ἔχοντι*] CEG, *εχωντι* A. *αἱ εἰρημέναι περιφέρειαι*] *Torellius*, *α ειρημενα περιφερεια* ABC. **17** *τοσαυτάκις*] BG, *τοσαυτας* AC. **18** *ἑνὶ*] BG, *εν* A(C). **19** *ἑτέρα*] scripsi coll. p. 52, 13; *εκατερα* ABC. **24** hic alicubi des. C. *ἀρχὰ*] inc. C. **26** *ἑσσοῦνται*] CG, *εσουνται* A. **27** *προαγουμένοις*] (C)G, *προαγομενοις* A.

ἔστω ἕλιξ, ἐφ' ἇς τὰ Α, Β, Γ, Δ, Θ, ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα, καὶ ἔστω τὸ μὲν Α σαμεῖον ἀρχὰ τᾶς ἕλικος, ἁ δὲ ΑΘ εὐθεῖα ἀρχὰ τᾶς περιφορᾶς, ὅ τε πρῶτος κύκλος ὁ ΘΚΗ, ἐπιψαυέτω δέ τις εὐθεῖα γραμμὰ τᾶς ἕλικος ἁ ΕΔΖ κατὰ τὸ Δ, καὶ ἀπὸ τοῦ Δ ἐπὶ τὸ Α ἐπεξεύχθω ἁ ΔΑ. δεικτέον, ὅτι ἁ ΔΖ ποτὶ τὰν ΑΔ ἀμβλεῖαν ποιεῖ γωνίαν.

γεγράφθω κύκλος ὁ ΔΤΝ κέντρῳ μὲν τῷ Α, διαστήματι δὲ τᾷ ΑΔ· ἀναγκαῖον δὴ τούτου τοῦ κύκλου τὰν μὲν ἐν τοῖς προαγουμένοις περιφέρειαν ἐντὸς πίπτειν τᾶς ἕλικος, τὰν δὲ ἐν τοῖς ἑπομένοις ἐκτὸς διὰ τὸ τᾶν ἀπὸ τοῦ Α ποτὶ τὰν ἕλικα ποτιπιπτουσᾶν εὐθειᾶν τὰς μὲν ἐν τοῖς προαγουμένοις μείζονας εἶμεν τᾶς ΑΔ, τὰς δὲ ἐν τοῖς ἑπομένοις ἐλάσσονας. ὅτι μὲν οὖν ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΑΔΖ οὐκ ἔστιν ὀξεῖα, δῆλον, ἐπειδὴ μείζων ἐστὶ τᾶς τοῦ ἡμικυκλίου, ὅτι δὲ ὀρθὰ οὐκ ἔστι, δεικτέον οὕτως· ἔστω γάρ, εἰ δυνατόν, ὀρθά· ἁ ἄρα ΕΔΖ ἐπιψαύει τοῦ ΔΤΝ κύλου. δυνατὸν δή ἐστιν ἀπὸ τοῦ Α ποτιβαλεῖν εὐθεῖαν ποτὶ τὰν ἐπιψαύουσαν, ὥστε τὰν μεταξὺ τᾶς ἐπιψαυούσας καὶ τᾶς τοῦ κύκλου περιφερείας εὐθεῖαν ποτὶ τὰν ἐκ τοῦ κέντρου τοῦ κύκλου ἐλάσσονα λόγον ἔχειν τοῦ, ὃν ἔχει ἁ μεταξὺ τᾶς ἁφᾶς καὶ τᾶς ποτιπιπτούσας

sit spiralis, in qua sint puncta A, B, Γ, Δ, Θ, prima circumactione descripta, et punctum A principium sit spiralis, recta autem $A\Theta$ principium circumactionis, et primus circulus ΘKH, linea autem recta $E\Delta Z$ spiralem contingat in puncto Δ, et a puncto Δ ad A ducatur recta ΔA. demonstrandum, rectam ΔZ ad rectam $A\Delta$ obtusum angulum efficere.

describatur circulus ΔTN, cuius centrum sit A, radius autem $A\Delta$; necesse est igitur, huius circuli arcum, qui in praecedentibus est, intra spiralem cadere, qui in sequentibus est, extra, quia rectarum ab A ad spiralem ductarum quae in praecedentibus sunt, maiores sunt recta $A\Delta$, quae in sequentibus sunt, minores. angulum igitur rectis $A\Delta$, ΔZ comprehensum acutum non esse, adparet, cum maior sit angulo semicirculi,[1]) rectum uero eum non esse, ita demonstrandum est: sit enim, si fieri potest, rectus; itaque recta $E\Delta Z$ circulum ΔTN contingit [Eucl. III, 16 coroll.]. fieri igitur potest, ut ab A recta ad rectam contingentem ducatur, ita ut recta inter contingentem ambitumque circuli posita ad radium circuli minorem rationem habeat, quam habet arcus inter punctum contactus rectamque ad contingentem ductam positus ad datum arcum [prop. 5]. ducatur igitur ad rectam contingentem recta AI; ea igitur spiralem

1) H. e. angulo inter rectam $A\Delta$ et arcum ΔPT comprehenso, qui maior est quolibet acuto angulo rectilineo (Eucl. III, 16); quare, cum hic angulus pars sit anguli $A\Delta Z$, adparet, hunc acutum certe non esse (Eucl. I κοιν. ἔνν. 8).

5 $E\Delta Z$] scripsi, ΔEZ AB(C). 9 τᾷ] C, τω A. 10 τὰν] G, e corr. H, τα AC. προαγουμένοις] G, προαγευμένοις C, προαγομενοις A. 19 προαγουμένοις] A, προαγευμένοις C. 26 δυνατόν] in δυ- des. C. ἐπιψαύει] in -ει inc. C. 27 ἀπὸ] BCGH, α A.

περιφέρεια ποτὶ τὰν δοθεῖσαν περιφέρειαν. ποτιπιπτέτω δὴ ἁ ΑΙ· τεμεῖ δὴ αὔτα τὰν μὲν ἕλικα κατὰ τὸ Λ, τὰν δὲ τοῦ ΔΝΤ κύκλου περιφέρειαν κατὰ τὸ Ρ· καὶ ἐχέτω ἁ ΡΙ εὐθεῖα ποτὶ τὰν ΑΡ ἐλάσσονα λόγον τοῦ, ὃν ἔχει ἁ ΔΡ περιφέρεια ποτὶ τὰν ΔΝΤ περιφέρειαν· καὶ ὅλα ἄρα ἁ ΙΑ ποτὶ τὰν ΑΡ ἐλάσσονα λόγον ἔχει ἢ ἁ ΡΔΝΤ περιφέρεια ποτὶ τὰν ΔΝΤ περιφέρειαν, τουτέστιν ὃν ἔχει ἁ ΣΗΚΘ περιφέρεια ποτὶ τὰν ΗΚΘ περιφέρειαν. ὃν δὲ ἁ ΣΗΚΘ περιφέρεια ποτὶ τὰν ΗΚΘ περιφέρειαν, τοῦτον ἔχει ἁ ΑΛ εὐθεῖα ποτὶ τὰν ΑΔ· δέδεικται γὰρ τοῦτο· ἐλάσσονα ἄρα λόγον ἔχει ἁ ΑΙ ποτὶ τὰν ΑΡ ἤπερ ἁ ΛΑ ποτὶ τὰν ΑΔ· ὅπερ ἀδύνατον· ἴσα γὰρ ἁ ΡΑ τᾷ ΑΔ. οὐκ ἄρα ἐστὶν ὀρθὰ ἁ περιεχομένα ὑπὸ τᾶν ΑΔΖ. δέδεικται δέ, ὅτι οὐδὲ ὀξεῖα· ἀμβλεῖα ἄρα ἐστίν. ὥστε ἁ λοιπὰ ὀξεῖά ἐστιν.

ὁμοίως δὲ δειχθήσεται, καὶ εἴ κα ἁ ἐπιψαύουσα τᾶς ἕλικος κατὰ τὸ πέρας ἐπιψαύῃ, ὅτι τὸ αὐτὸ συμβήσεται.

ιξ΄.

Καὶ τοίνυν, εἴ κα τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας ἕλικος ἐπιψαύῃ ἁ εὐθεῖα, τὸ αὐτὸ συμβήσεται.

ἐπιψανέτω γὰρ ἁ ΕΖ εὐθεῖα τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας ἕλικος κατὰ τὸ Δ, καὶ τὰ ἄλλα τὰ αὐτὰ τοῖς πρότερον κατεσκευάσθω. ὁμοίως δὴ τᾶς τοῦ ΡΝΔ κύκλου περιφερείας τὰ μὲν ἐν τοῖς προαγουμένοις τᾶς ἕλικος ἐντὸς πεσοῦνται, τὰ δὲ ἐν τοῖς ἑπομένοις ἐκτός· ἁ οὖν γωνία ἁ ὑπὸ τᾶν ΑΔΖ οὐκ ἔστιν ὀρθά, ἀλλὰ ἀμβλεῖα. ἔστω γάρ, εἰ δυνατόν, ὀρθά· ἐπιψαύσει δὴ ἁ ΕΖ τοῦ ΡΝΔ κύκλου κατὰ τὸ Δ. ἄχθω δὴ πάλιν ποτὶ τὰν ἐπιψαύουσαν ἁ ΑΙ καὶ τεμ-

in puncto A, ambitum autem circuli ΔNT in puncto P secabit; et sit $PI : AP < \Delta P : \Delta NT$; quare etiam

$$IA : AP < P\Delta NT : \Delta NT,^{1)}$$

h. e. $< \Sigma HK\Theta : HK\Theta.$[2]) sed $\Sigma HK\Theta : HK\Theta = AA : A\Delta$; hoc enim demonstratum est [prop. 14]; itaque

$$AI : AP < AA : A\Delta;$$

quod fieri non potest; nam $PA = A\Delta$[3]) [Eucl. V, 8]. itaque angulus rectis $A\Delta$, ΔZ comprehensus rectus non est. et demonstratum est, ne acutum quidem eum esse; itaque obtusus est. ergo reliquus angulus acutus est.

et eodem modo demonstrabitur, etiam si recta spiralem contingens in termino contingat, idem futurum esse.

XVII.

Iam uero, etiam si spiralem secunda circumactione descriptam recta contingit, idem futurum est.

nam recta EZ spiralem secunda circumactione descriptam in puncto Δ contingat, et cetera eodem modo, quo supra [prop. 16], comparentur. itaque, ut supra, ea pars ambitus circuli $PN\Delta$, quae in praecedentibus est, intra spiralem cadet, quae in sequentibus est, extra; angulus igitur rectis $A\Delta$, ΔZ comprehensus rectus non est, sed obtusus. sit enim, si fieri potest, rectus; recta EZ igitur circulum $PN\Delta$

---

1) Sc. συνθέντι, u. Pappus VII, 46 p. 686.


2) Nam $P\Delta NT : \Delta NT = \angle PAT\ (> 180^\circ) : \Delta AT\ (> 180^\circ) = \Sigma HK\Theta : HK\Theta$ (Eucl. VI, 33).

3) Et $IA > AA$, quod addi uoluit Commandinus lin. 13. sed fortasse ἴσα — $A\Delta$ lin. 13 interpolatoris sunt (cfr. p. 61 not. 3).

---

1 περιφέρεια] scripsi, periferiā e corr. B, περιφερειας AC. ποτὶ] AB, ὅτι comp. C. 3 κύκλου περιφέρειαν] scripsi, περιφερειαν κυκλου AC; cfr. lin. 25. 8 $HK\Theta$] CD[2], $K\Theta$ AB. 13 $A\Delta$] AB, ΔA C. ἄρα ἐστὶν] A; ἐστὶν ἄρα C, sed corr. 16 δὲ] C, om. AB. καὶ] des. C. 17 κατὰ] inc. C. ἐπιψαύῃ] A, ἐπιψαύει C. ὅτι] addidi, om. ABC. 22 EZ] C, e corr. B, AZ A. 23 περιφορᾷ] BCG, περιφορας A. 25 κύκλου περιφερείας] scripsi, περιφερειας κυκλου AC. προαγουμένοις] A, προαγευμένοις C. 30 ἁ] A, αἱ C.

νέτω τὰν μὲν ἕλικα κατὰ τὸ Χ, τὰν δὲ τοῦ ΡΝΔ κύκλου περιφέρειαν κατὰ τὸ Ρ, ἐχέτω δὲ ἁ ΡΙ ποτὶ ΡΑ



ἐλάσσονα λόγον τοῦ, ὃν ἔχει ἁ ΔΡ περιφέρεια ποτὶ ὅλαν τὰν τοῦ ΔΡΝ κύκλου περιφέρειαν καὶ [ποτὶ] τὰν ΔΝΤ· δέδεικται γὰρ τοῦτο δυνατὸν ἐόν· καὶ ὅλα ἄρα ἁ ΙΑ ποτὶ τὰν ΑΡ ἐλάσσονα λόγον ἔχει ἢ ἁ ΡΔΝΤ περιφέρεια μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας ποτὶ τὰν ΔΝΤ περιφέρειαν μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας. ἀλλ' ὃν ἔχει λόγον ἁ ΡΔΝΤ περιφέρεια μεθ' ὅλας τᾶς τοῦ ΔΝΤΡ κύκλου περιφερείας ποτὶ τὰν ΔΝΤ περιφέρειαν μεθ' ὅλας τᾶς τοῦ ΔΝΤΡ κύκλου περιφερείας, τοῦτον ἔχει τὸν λόγον ἁ ΣΗΚΘ περιφέρεια μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας τᾶς ΘΣΗΚ ποτὶ τὰν ΗΚΘ περιφέρειαν μεθ' ὅλας τᾶς τοῦ ΘΣΗΚ κύκλου περιφερείας, ὃν δὲ λόγον ἔχοντι αἱ ὕστερον εἰρημέναι περιφέρειαι, τοῦτον ἔχει τὸν λόγον ἁ ΧΑ εὐθεῖα ποτὶ τὰν ΑΔ εὐθεῖαν· δέδεικται γὰρ τοῦτο· ἐλάσσονα ἄρα λόγον ἔχει ἁ ΙΑ ποτὶ τὰν ΑΡ ἢ ἁ ΑΧ ποτὶ τὰν ΑΔ· ὅπερ ἀδύνατον [ἴση μὲν γὰρ ἡ ΡΑ τῇ ΑΔ, μείζων δὲ ἡ ΙΑ τῆς ΑΧ]. δῆλον οὖν, ὅτι ἀμβλεῖά ἐστιν ἁ περιεχομένα ὑπὸ τᾶν ΑΔΖ· ὥστε ἁ λοιπὰ ὀξεῖά ἐστι.

τὰ δ' αὐτὰ συμβήσεται, καὶ εἴ κα ἁ ἐπιψαύουσα κατὰ τὸ πέρας τᾶς ἕλικος ἐπιψαύῃ.

in puncto Δ continget [Eucl. III, 16 coroll.]. rursus igitur ad rectam contingentem ducatur recta AI et spiralem in puncto X, ambitum autem circuli $PN\Delta$ in puncto P secet, sit autem $PI : PA < \Delta P : \Delta PN$[1]) $+ \Delta NT$; nam demonstratum est, hoc fieri posse [prop. 5]; quare erit [p. 59 not. 1] $IA : AP < P\Delta NT + \Delta PN$[1]) $: \Delta NT + \Delta PN.$[1]) est autem

$$P\Delta NT + \Delta NTP : \Delta NT + \Delta NTP$$

$$= \Sigma HK\Theta + \Theta\Sigma HK^{2)} : HK\Theta + \Theta\Sigma HK = XA : A\Delta;$$

hoc enim demonstratum est [prop. 15]; quare erit

$$IA : AP < AX : A\Delta;$$

quod fieri non potest.[3]) adparet igitur, angulum rectis $A\Delta$, ΔZ comprehensum obtusum esse;[4]) ergo reliquus angulus acutus est.

eadem autem euenient, etiam si recta contingens in termino spiralis contigerit.

---

1) H. e. totus ambitus circuli ΔPN siue ΔNTP (lin. 17, 19).

2) H. e. totus ambitus circuli $\Theta\Sigma HK$. proportio autem hoc modo sequitur. sit $P\Delta NT = P_1$, $\Delta NTP = C$, $\Delta NT = P$, $\Sigma HK\Theta = p_1$, $\Theta\Sigma HK = c$, $HK\Theta = p$. erit igitur $P_1 : p_1 = C : c$ (Eucl. VI, 33 coroll., ZMP. XXIV p. 181 nr. 14); quare $P_1 + C : p_1 + c = P_1 : p_1$. praeterea $P : p = C : c$ et $P + C : p + c = P : p$. sed $P_1 : p_1 = P : p$ [p. 59 not. 2); itaque $P_1 + C : p_1 + c = P + C : p + c$, et $P_1 + C : P + C = p_1 + c : p + c$ [Eucl. V, 16].

3) Nam $PA = A\Delta$ et $IA > AX$. sed putauerim, uerba ἴση μὲν lin. 27 — τῆς AX lin. 28 subditiua esse, quia Archimedes, si causam plene adferre uoluisset, hoc sine dubio non hoc loco, sed supra p. 58, 13 fecisset, ubi leuis tantum significatio additur, ipsa quoque fortasse interpolata. et formae uulgares constanter usurpatae ita facilius explicantur. cfr. tamen p. 64, 25.

4) Nam ne acutus quidem est; u. p. 57 not. 1.

---

6 κύκλου] in κύ- des. C. 7 ποτί] AB; deleo. 8 ΔNT] inc. C. 20 περιφέρεια] CH, περιφερειαν A. In fig. O pro Θ hab. A, corr. E; Σ (Ϲ) e corr. B, in quo additus est circulus spiralem comprehendens. 26 ἁ (alt.)] ἡ EH, om. A(C). 31 ἐπιψαύῃ] A, ἐπιψαύοι C.

ὁμοίως δὲ δειχθήσεται, καὶ εἴ κα τᾶς ἐν ὁποιαοῦν περιφορᾷ γεγραμμένας ἕλικος ἐπιψαύῃ τις εὐθεῖα, καὶ εἴ κα κατὰ τὸ πέρας αὐτᾶς, ὅτι ἀνίσους ποιήσει τὰς γωνίας ποτὶ τὰν ἀπὸ τᾶς ἁφᾶς ἐπιζευχθεῖσαν ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος καὶ τὰν μὲν ἐν τοῖς προαγουμένοις ἀμβλεῖαν, τὰν δὲ ἐν τοῖς ἑπομένοις ὀξεῖαν.

ιη'.

Εἴ κα τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένας εὐθεῖα γραμμὰ ἐπιψαύῃ κατὰ τὸ πέρας τᾶς ἕλικος, ἀπὸ δὲ τοῦ σαμείου, ὅ ἐστιν ἀρχὰ τᾶς ἕλικος, ποτ' ὀρθὰς ἀχθῇ τις τᾷ ἀρχᾷ τᾶς περιφορᾶς, ἁ ἀχθεῖσα συμπεσεῖται τᾷ ἐπιψαυούσᾳ, καὶ ἁ μεταξὺ εὐθεῖα τᾶς ἐπιψαυούσας καὶ τᾶς ἀρχᾶς τᾶς ἕλικος ἴσα ἐσσεῖται τᾷ τοῦ πρώτου κύκλου περιφερείᾳ.

ἔστω ἕλιξ ἁ $AB\Gamma\Delta\Theta$, ἔστω δὲ τὸ A σαμεῖον ἀρχὰ τᾶς ἕλικος, ἁ δὲ ΘA γραμμὰ ἀρχὰ τᾶς περιφορᾶς, ὁ δὲ ΘHK κύκλος ὁ πρῶτος, ἐπιψαυέτω δέ τις τᾶς ἕλικος κατὰ τὸ Θ ἁ ΘZ, καὶ ἀπὸ τοῦ A ἄχθω ποτ' ὀρθὰς τᾷ ΘA ἁ AZ· συμπεσεῖται δὴ αὕτα ποτὶ τὰν ΘZ, ἐπεὶ αἱ $Z\Theta$, ΘA ὀξεῖαν γωνίαν περιέχοντι. συμπιπτέτω κατὰ τὸ Z. δεικτέον, ὅτι ἁ ZA ἴσα ἐστὶ τᾷ τοῦ ΘKH κύκλου περιφερείᾳ.

εἰ γὰρ μή, ἤτοι μείζων ἐστὶν ἢ ἐλάσσων. ἔστω πρότερον, εἰ δυνατόν, μείζων. ἔλαβον δή τινα εὐθεῖαν τὰν ΛA τᾶς μὲν ZA εὐθείας ἐλάσσονα, τᾶς δὲ τοῦ ΘHK κύκλου περιφερείας μείζονα. ἔστιν δὴ κύκλος

---

2 περιφορᾷ] B, om. A(C). ἐπιψαύῃ] A, ἐπιψαύει C. 3 κα] A, om. C. 5 προαγουμένοις] A, προαγευμένοις C. 6 ἑξῆς τὸ σχῆμα C seq. fig. 12 συμπεσεῖται] CEGH, συνπεσειται A. 13 τᾶς ἕλικος] A, bis C. 18 κατὰ] des. C. ποτ'] inc. C. 26 ἔστιν] A, ἔστι C.


et eodem modo demonstrabimus, etiam si spiralem qualibet circumactione descriptam recta aliqua contingat, etiam si in termino eius contingat, angulos eam ad rectam a puncto contactus ad principium spiralis ductam inaequales facturam esse, et angulum in praecedentibus positum obtusum, qui in sequentibus positus sit, acutum [cfr. prop. 15 p. 54, 10 sqq.].

XVIII.

Si spiralem prima circumactione descriptam linea recta contigerit in termino spiralis, et a puncto, quod principium est spiralis, recta ad principium circumactionis perpendicularis ducta erit, recta ita ducta in contingentem incurret, et recta inter contingentem principiumque spiralis posita aequalis erit ambitui circuli primi.[1])

sit spiralis $ABΓΔΘ$, et punctum A principium spiralis sit, recta autem $ΘA$ principium circumactionis, circulusque $ΘHK$ primus, recta autem aliqua $ΘZ$ spiralem contingat in puncto $Θ$, et a puncto A ad rectam $ΘA$ perpendicularis ducatur recta AZ; ea igitur in rectam $ΘZ$ incurret, quoniam rectae $ZΘ$, $ΘA$ acutum angulum comprehendunt [prop. 16; Eucl. I post. 5]. incidat in eam in puncto Z. demonstrandum, rectam ZA aequalem esse ambitui circuli $ΘKH$.

nam si aequalis non est, aut maior est aut minor. sit prius, si fieri potest, maior. sumpsi igitur rectam aliquam



$ΛA$ minorem recta ZA, maiorem autem ambitu circuli $ΘHK$ [prop. 4]. itaque datus est circulus quidam $ΘHK$

1) Cfr. p. 8, 28 sqq. de Pappo IV, 59 u. Zeuthen, Die Lehre von d. Kegelschnitten im Altert. p. 258 sqq.

τις ὁ ΘΗΚ καὶ ἐν τῷ κύκλῳ γραμμὰ ἐλάσσων τᾶς διαμέτρου ἁ ΘΗ καὶ λόγος, ὃν ἔχει ἁ ΘΑ ποτὶ ΑΛ, μείζων τοῦ, ὃν ἔχει ἁ ἡμίσεια τᾶς ΗΘ ποτὶ τὰν ἀπὸ τοῦ Α κάθετον ἐπ' αὐτὰν ἀγμέναν, διότι καὶ τοῦ, ὃν ἔχει ἁ ΘΑ ποτὶ ΑΖ· δυνατὸν οὖν ἐστιν ἀπὸ τοῦ Α ποτιβαλεῖν ποτὶ τὰν ἐκβεβλημέναν τὰν ΑΝ, ὥστε τὰν μεταξὺ τᾶς περιφερείας καὶ τᾶς ἐκβεβλημένας τὰν ΝΡ ποτὶ ΘΡ τὸν αὐτὸν ἔχειν λόγον, ὃν ἁ ΘΑ ποτὶ τὰν ΑΛ· ἕξει οὖν ἁ ΝΡ ποτὶ τὰν ΡΑ λόγον, ὃν ἁ ΘΡ εὐθεῖα ποτὶ τὰν ΑΛ. ἁ δὲ ΘΡ ποτὶ τὰν ΑΛ ἐλάσσονα λόγον ἔχει ἢ ἁ ΘΡ περιφέρεια ποτὶ τὰν τοῦ ΘΗΚ κύκλου περιφέρειαν· ἁ μὲν γὰρ ΘΡ εὐθεῖα ἐλάσσων ἐστὶ τᾶς ΘΡ περιφερείας, ἁ δὲ ΑΛ εὐθεῖα τᾶς τοῦ ΘΗΚ κύκλου περιφερείας μείζων· ἐλάσσονα οὖν λόγον ἕξει καὶ ἁ ΝΡ ποτὶ ΡΑ ἢ ἁ ΘΡ περιφέρεια ποτὶ τὰν τοῦ ΘΗΚ κύκλου περιφέρειαν· καὶ ὅλα οὖν ἁ ΝΑ ποτὶ τὰν ΑΡ ἐλάσσονα λόγον ἔχει ἤπερ ἁ ΘΡ περιφέρεια μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας ποτὶ τὰν τοῦ ΘΗΚ κύκλου περιφέρειαν. ὃν δὲ λόγον ἔχει ἁ ΘΡ περιφέρεια μεθ' ὅλας τᾶς τοῦ ΘΗΚ κύκλου περιφερείας ποτὶ τὰν τοῦ ΘΗΚ κύκλου περιφέρειαν, τοῦτον ἔχει ἁ ΧΑ ποτὶ τὰν ΑΘ· δέδεικται γὰρ τοῦτο· ἐλάσσονα ἄρα λόγον ἔχει ἁ ΝΑ ποτὶ τὰν ΑΡ ἤπερ ἁ ΧΑ ποτὶ τὰν ΑΘ· ὅπερ ἀδύνατον· ἁ μὲν γὰρ ΝΑ μείζων ἐστὶ τᾶς ΑΧ, ἁ δὲ ΑΡ ἴσα ἐστὶ τᾷ ΘΑ. οὐκ ἄρα μείζων ἁ ΖΑ τᾶς τοῦ κύκλου περιφερείας τοῦ ΘΗΚ.

ἔστω δὴ πάλιν, εἰ δυνατόν, ἐλάσσων ἁ ΖΑ τᾶς τοῦ ΘΗΚ κύκλου περιφερείας. ἔλαβον δή τινα εὐθεῖαν πάλιν τὰν ΑΛ τᾶς μὲν ΑΖ μείζονα, τᾶς δὲ τοῦ ΘΗΚ κύκλου περιφερείας ἐλάσσονα, καὶ ἄγω ἀπὸ τοῦ

et in circulo recta ΘH minor diametro,[1]) et ratio $\Theta A : AA$ maior ea, quam habet dimidia recta $H\Theta$ ad rectam a puncto A ad eam perpendicularem ductam, quia ea quoque minor est, quam habet

$$\Theta A : AZ;^{2})$$

fieri igitur potest, ut ab A ad rectam productam AN recta ducatur, ita ut sit $NP : \Theta P = \Theta A : AA$ [prop. 7]; erit igitur $NP : PA = \Theta P : AA$.[3]) sed recta ΘP ad AA minorem rationem habet quam arcus ΘP ad ambitum circuli ΘHK; nam recta ΘP minor est arcu ΘP et recta AA maior ambitu circuli ΘHK [p. 62, 25]; quare etiam recta NP ad PA minorem rationem habebit quam arcus ΘP ad ambitum circuli ΘHK; itaque etiam tota recta NA ad rectam AP minorem rationem habet quam arcus ΘP cum toto ambitu circuli ad ambitum circuli ΘHK [p. 59 not. 1]. sed quam rationem habet arcus ΘP cum toto ambitu circuli ΘHK ad ambitum circuli ΘHK, eam habet $XA : A\Theta$; hoc enim demonstratum est [prop. 15]; quare erit $NA : AP < XA : A\Theta$; quod fieri non potest; nam $NA > AX$, et $AP = \Theta A$. itaque recta ZA maior non erit ambitu circuli ΘHK.

rursus, si fieri potest, recta ZA minor sit ambitu circuli ΘHK. sumpsi igitur rursus rectam aliquam AA recta AZ maiorem, ambitu autem circuli ΘHK minorem [prop. 4], et

---

1) Nam ΘZ, spiralem contingens, extra eam cadet, nec per punctum A transire potest; tum u. Eucl. III, 7.

2) Nam $AA > ZA$ (tum u. Eucl. V, 8). et, si ducitur recta ab A ad $H\Theta$ perpendicularis, eam in duas partes aequales secabit (Eucl. III, 3), et efficietur triangulus similis triangulo $A\Theta Z$ (Eucl. VI, 8); tum u. Eucl. VI, 4.

3) Nam $NP : \Theta A = \Theta P : AA$ (Eucl. V, 16), et $\Theta A = PA$.

---

12 ΘHK] C, ΘH AB. **13** εὐθεῖα] in εὐ- des. C. **14** περιφερείας] in -ρείας inc. C. **22** τάν] CG, τον A. **23** ἄρα] B, om. AC. **28** ιθ' add. AC, non B. **31** περιφερείας] in περι- des. C. τοῦ] inc. C.

Θ τὰν ΘΜ παράλληλον τᾷ ΑΖ. πάλιν οὖν κύκλος ἐστὶν ὁ ΘΗΚ καὶ ἐν αὐτῷ ἐλάσσων γραμμὰ τᾶς διαμέτρου ἁ ΘΗ καὶ ἄλλα ἐπιψαύουσα τοῦ κύκλου κατὰ τὸ Θ καὶ λόγος, ὃν ἔχει ἁ ΑΘ ποτὶ τὰν ΑΔ, ἐλάσσων τοῦ, ὃν ἔχει ἁ ἡμίσεια τᾶς ΗΘ ποτὶ τὰν ἀπὸ τοῦ Α κάθετον ἐπ' αὐτὰν ἀγμέναν, ἐπειδὴ καὶ τοῦ, ὃν ἔχει ἁ ΘΑ ποτὶ ΑΖ, ἐλάσσων ἐστί· δυνατὸν οὖν ἐστιν ἀπὸ τοῦ Α ἀγαγεῖν τὰν ΑΠ ποτὶ τὰν ἐπιψαύουσαν, ὥστε τὰν ΡΝ τὰν μεταξὺ τᾶς ἐν τῷ κύκλῳ εὐθείας καὶ τᾶς περιφερείας ποτὶ τὰν ΘΠ τὰν ἀπολαφθεῖσαν ἀπὸ τᾶς ἐπιψαυούσας τοῦτον ἔχειν τὸν λόγον, ὃν ἔχει ἁ ΘΑ ποτὶ τὰν ΑΛ· τεμεῖ δὴ ἁ ΑΠ τὸν μὲν κύκλον κατὰ τὸ Ρ, τὰν δὲ ἕλικα κατὰ τὸ Χ· καὶ ἕξει καὶ ἐναλλὰξ τὸν αὐτὸν λόγον ἁ ΝΡ ποτὶ ΡΑ, ὃν ἁ ΘΠ ποτὶ ΑΛ. ἁ δὲ ΘΠ ποτὶ τὰν ΑΛ μείζονα λόγον ἔχει ἢ ἁ ΘΡ περιφέρεια ποτὶ τὰν τοῦ ΘΗΚ κύκλου περιφέρειαν· ἁ μὲν γὰρ ΘΠ εὐθεῖα μείζων ἐστὶν τᾶς ΘΡ περιφερείας, ἁ δὲ ΑΛ ἐλάσσων τᾶς τοῦ ΘΗΚ κύκλου περιφερείας· μείζονα ἄρα λόγον ἔχει ἁ ΠΡ ποτὶ τὰν ΑΡ ἢ ἁ ΘΡ περιφέρεια ποτὶ τὰν τοῦ ΘΗΚ κύκλου περιφέρειαν· ὥστε καὶ ἁ ΡΑ ποτὶ τὰν ΑΝ μείζονα λόγον ἔχει ἢ ἁ τοῦ ΘΗΚ κύκλου περιφέρεια ποτὶ τὰν ΘΚΡ περιφέρειαν. ὃν δὲ λόγον ἔχει ἁ τοῦ ΘΗΚ κύκλου περιφέρεια ποτὶ τὰν ΘΚΡ περιφέρειαν, τοῦτον ἔχει ἁ ΘΑ εὐθεῖα ποτὶ τὰν ΑΧ· δέδεικται γὰρ τοῦτο· μείζονα ἄρα λόγον ἔχει ἁ ΡΑ ποτὶ τὰν ΑΝ ἢ ἁ ΘΑ ποτὶ τὰν ΑΧ· ὅπερ ἀδύνατον. οὐκ ἄρα μεί-

5 *ΗΘ*] AB, *ΘΗ* C. 10 *τὰν* (alt.)] C, om. A. 17 *ἐστὶν*] C, *εστι* A. 20 *ἢ ἁ*] AB, *ἡ* C. 22 *ΘΗΚ*] BCGD², *ΘΝΚ* A. 24 *περιφέρεια*] in *πε-* des. C. *περιφέρειαν*] in *-ρειαν* inc. C. *τοῦτον*] AB, *ταυτον* C.

a puncto Θ rectae AZ parallelam duco rectam ΘM. rursus igitur datus est circulus ΘHK et in eo recta diametro minor

ΘH [p. 65 not. 1] et alia recta ⟨ΘM⟩ circulum in puncto Θ contingens [Eucl. III, 16 coroll.] et ratio $A\Theta : A\varDelta$ minor ea, quam habet dimidia recta $H\Theta$ ad rectam a puncto A ad eam perpendicularem ductam, quoniam minor est ea, quam habet $\Theta A : AZ$ [p. 65 not. 2]; fieri igitur potest, ut ab A ad rectam contingentem ducatur recta $A\Pi$, ita ut sit $PN : \Theta\Pi = \Theta A : A\varDelta$ [prop. 8]; recta $A\Pi$ igitur circulum in puncto P secabit, spiralem autem in puncto X; et permutando erit etiam [Eucl. V, 16] $NP : PA$[1]) $= \Theta\Pi : A\varDelta$. recta autem $\Theta\Pi$ ad $A\varDelta$ maiorem rationem habet quam arcus ΘP ad ambitum circuli ΘHK; nam recta $\Theta\Pi$ maior est arcu ΘP[2]) et $A\varDelta$ minor ambitu circuli ΘHK [p. 64, 30]; itaque maiorem rationem habet $NP : AP$ quam arcus ΘP ad ambitum circuli ΘHK; quare etiam $PA : NA$ maiorem rationem habet quam ambitus circuli ΘHK ad arcum ΘKP.[3]) sed quam rationem habet ambitus circuli ΘHK ad arcum ΘKP, eam habet $\Theta A : AX$; hoc enim demonstratum est

1) Nam $PA = \Theta A$.

2) Si a Π circulum contingens ducitur $\Pi H'$, erit $H'\Pi + \Pi\Theta$ maior arcu $H'\Theta$ (De sph. et cyl. I post. 2 p. 8, 5); sed $H'\Pi + \Pi\Theta = 2\,\Theta\Pi$ (ZMP. XXIV p. 181 nr. 15), et arcus

$$H'\Theta = 2\,\Theta P, \text{ h. e. } \Theta\Pi > \Theta P.$$

3) Nam ἀνάπαλιν est $AP : NP < \Theta HK : \Theta P$ (Pappus VII, 49 p. 688), et ἀναστρέψαντι $AP : AN > \Theta HK : \Theta KP$ (Pappus VII, 48 p. 686).

ζων ἐστὶν οὐδὲ ἐλάσσων ἁ *ΖΑ* τᾶς τοῦ *ΘΗΚ* κύκλου περιφερείας· ἴσα ἄρα.

ιθ'.

Εἰ δέ κα τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας ἕλικος κατὰ τὸ πέρας ἐπιψαύῃ εὐθεῖα, καὶ ἀπὸ τᾶς ἀρχᾶς τᾶς ἕλικος ἀχθῇ τις ποτ' ὀρθὰς τᾷ ἀρχᾷ τᾶς περιφορᾶς, συμπεσεῖται αὕτα ποτὶ τὰν ἐπιψαύουσαν, καὶ ἐσσεῖται ἁ εὐθεῖα ἁ μεταξὺ τᾶς ἐπιψαυούσας καὶ τᾶς ἀρχᾶς τᾶς ἕλικος διπλασία τᾶς τοῦ δευτέρου κύκλου περιφερείας.

ἔστω γὰρ ἁ μὲν *ΑΒΓΘ* ἕλιξ ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα, ἁ δὲ *ΘΕΤ* ἐν τᾷ δευτέρᾳ, καὶ ὁ μὲν *ΘΚΗ* κύκλος ὁ πρῶτος, ὁ δὲ *ΤΜΝ* ὁ δεύτερος, ἔστω δέ τις γραμμὰ ἐπιψαύουσα τᾶς ἕλικος κατὰ τὸ *Τ* ἁ *ΤΖ*, ἁ δὲ *ΖΑ* ποτ' ὀρθὰς ἄχθω τᾷ *ΤΑ*· συμπεσεῖται δὲ αὕτα τᾷ *ΤΖ* διὰ τὸ δεδεῖχθαι τὰν γωνίαν ὀξεῖαν ἐοῦσαν τὰν ὑπὸ τᾶν *ΑΤΖ*. δεικτέον, ὅτι ἁ *ΖΑ* εὐθεῖα διπλασία ἐντὶ τᾶς τοῦ *ΤΜΝ* κύκλου περιφερείας.

εἰ γὰρ μή ἐστιν διπλασία, ἤτοι μείζων ἐστὶν ἢ διπλασία ἢ ἐλάσσων ἐστὶν ἢ διπλασία. ἔστω πρότερον, εἰ δυνατόν, μείζων ἢ διπλασία, καὶ λελάφθω τις εὐθεῖα ἁ *ΛΑ* τᾶς μὲν *ΖΑ* εὐθείας ἐλάσσων, τᾶς δὲ τοῦ *ΤΜΝ* κύκλου περιφερείας μείζων ἢ διπλασία. ἔστιν δή τις κύκλος ὁ *ΤΜΝ* καὶ ἐν τῷ κύκλῳ γραμμὰ δεδομένα ἐλάσσων τᾶς διαμέτρου ἁ *ΤΝ*, καὶ ὃν ἔχει ἁ *ΤΑ* ποτὶ τὰν *ΑΛ*, μείζων τοῦ, ὃν ἔχει ἁ ἡμίσεια τᾶς *ΤΝ* ποτὶ τὰν ἀπὸ τοῦ *Α* κάθετον ἐπ' αὐτὰν ἀγμέναν· δυνατὸν οὖν ἐστιν ἀπὸ τοῦ *Α* ποτιβαλεῖν τὰν *ΑΣ* ποτὶ τὰν *ΤΝ* ἐκβεβλημέναν, ὥστε τὰν μεταξὺ τᾶς

[prop. 14]; erit igitur $PA : AN > \Theta A : AX$; quod fieri non potest.[1]) itaque recta ZA neque maior est neque minor ambitu circuli ΘHK; ergo aequalis est.

XIX.

Sin spiralem secunda circumactione descriptam in termino contingit recta, et a principio spiralis recta ad principium circumactionis perpendicularis ducitur, ea in rectam contingentem incidet, et recta inter contingentem principiumque spiralis posita duplo maior erit ambitu circuli secundi.

nam spiralis $AB\Gamma\Theta$ prima circumactione descripta sit, ΘET autem secunda, et circulus ΘKH primus sit, TMN autem secundus, et recta aliqua TZ spiralem in puncto T contingat, recta autem ZA ad rectam TA perpendicularis ducatur; ea autem in rectam TZ incidet, quia demonstratum est, angulum rectis AT, TZ comprehensum acutum esse [prop. 17 p. 60, 29]. demonstrandum, rectam ZA duplo maiorem esse ambitu circuli TMN.

nam si duplo maior non est, aut maior est aut minor quam duplo maior. sit prius, si fieri potest, maior quam duplex, et sumatur recta ΛA minor quam duplo maior recta ZA, sed maior quam duplo maior ambitu circuli TMN [prop. 4]. itaque datus est circulus TMN et in circulo recta TN minor diametro [p. 65 not. 1] et ⟨ratio⟩ $TA : A\Lambda$ maior ea, quam habet dimidia recta TN ad rectam ab A ad eam perpendicularem ductam [p. 65 not. 2]; fieri igitur potest, ut ab A recta $A\Sigma$ ad rectam TN productam ita

1) Nam $PA = \Theta A$ et $AN > AX$; tum u. Eucl. V, 8.

3 ιϑ′] B, κ′ A(C). 4 κα] scripsi, κατα A, καὶ C, om. B. 5 ἐπιψαύῃ *Torellius*, επιψανοι A(C). 7 συμπεσεῖται] EGH(C), συνπεσειται A. 9 ἀρχᾶς] BC, αρχας και A. 16 δὲ] AB(C), δὴ G. αὗτα] G, τᾳ αυτᾳ A(C), ipsi B. 20 ἐστιν] C, εστι A. 25 γραμμὰ δεδομένα] scripsi, γραμμὰ G, γεγραμμενα ABC. 26 ἁ (alt.)] A, λόγον ἁ G (et proportio, quam habet quae B). 27 μείζων] A, μεί|μείζων C. 28 ἀγμέναν] C, αγομεναν A.


περιφερείας καὶ τᾶς ἐκβεβλημένας τὰν ΡΣ ποτὶ τὰν ΤΡ τὸν αὐτὸν ἔχειν λόγον, ὃν ἁ ΤΑ ποτὶ τὰν ΑΛ· τεμεῖ δὴ ἁ ΑΣ τὸν μὲν κύκλον κατὰ τὸ Ρ, τὰν δὲ ἕλικα κατὰ τὸ Χ· καὶ ἐναλλὰξ τὸν αὐτὸν ἕξει λόγον ἁ ΡΣ ποτὶ τὰν ΤΑ, ὃν ἁ ΤΡ ποτὶ τὰν ΑΛ. ἁ δὲ ΤΡ ποτὶ τὰν ΑΛ ἐλάσσονα λόγον ἔχει ἢ ἁ ΤΡ περιφέρεια ποτὶ τὰν διπλασίαν τοῦ ΤΜΝ κύκλου περιφέρειαν· ἔστιν γὰρ ἁ μὲν ΤΡ εὐθεῖα ἐλάσσων τᾶς ΤΡ περιφερείας, ἁ δὲ ΑΛ εὐθεῖα μείζων ἢ διπλασία τᾶς τοῦ ΤΜΝ κύκλου περιφερείας· ἐλάσσονα ἄρα λόγον ἔχει ἁ ΡΣ ποτὶ τὰν ΑΡ ἢ ἁ ΤΡ περιφέρεια ποτὶ τὰν διπλασίαν τᾶς τοῦ ΤΜΝ κύκλου περιφερείας· ὅλα οὖν ἁ ΣΑ ποτὶ τὰν ΑΡ ἐλάσσονα λόγον ἔχει ἢ ἁ ΤΡ περιφέρεια μετὰ τᾶς τοῦ ΤΜΝ κύκλου περιφερείας δὶς εἰρημένας ποτὶ τὰν τοῦ ΤΜΝ κύκλου περιφέρειαν δὶς εἰρημέναν. ὃν δὲ λόγον ἔχοντι αἱ εἰρημέναι περιφέρειαι, τοῦτον ἔχει τὸν λόγον ἁ ΧΑ ποτὶ τὰν ΑΤ· δέδεικται γὰρ τοῦτο· ἐλάσσονα ἄρα λόγον ἔχει ἁ ΑΣ ποτὶ τὰν ΑΡ ἢ ἁ ΧΑ ποτὶ τὰν ΤΑ· ὅπερ ἀδύνατον. οὐκ ἄρα μείζων ἐστὶν ἢ διπλασία ἁ ΖΑ εὐθεῖα τᾶς τοῦ ΤΜΝ κύκλου περιφερείας. ὁμοίως δὲ δειχθήσεται, ὅτι οὐδὲ ἐλάσσων ἢ διπλασία. δῆλον οὖν, ὅτι διπλασία ἐστίν.

διὰ δὲ τοῦ αὐτοῦ τρόπου δεικτέον, καὶ εἴ κα τᾶς ἐν ὁποιᾳοῦν περιφορᾷ γεγραμμένας ἕλικος ἐπιψαύῃ τις εὐθεῖα κατὰ τὸ πέρας τᾶς ἕλικος, καὶ ἀπὸ τᾶς ἀρχᾶς τᾶς ἕλικος ποτ᾽ ὀρθὰς ἀχθεῖσα τᾷ ἀρχᾷ τᾶς περιφορᾶς συμπίπτῃ ποτὶ τὰν ἐπιψαύουσαν, ὅτι πολλαπλασία ἐστὶν

---

2 *ἔχειν*] G, *εχει* A(C). 7 *διπλασίαν*] CGH, e corr. E[2], *διπλασια* A. *ΤΜΝ*] G, e corr. B, *ΜΝ* ABC. **11** *λόγον*] des. C. **12** *τᾶς*] inc. C. **14** *τοῦ*] C, om. A. **22** *ὅτι*] AB, om. C. *ἐλάσσων*] C, *ελαττων* A. **28** *συμπίπτῃ*] A, *συμπίπτει* C. *ὅτι*] *Nizzius*, om. ABC. *ἐστὶν*] C, *εστι* A.

ducatur, ut sit $P\Sigma : TP = TA : A\varDelta$; recta $A\Sigma$ igitur circulum in puncto P secabit, spiralem autem in puncto X; et permutando erit [Eucl. V, 16] $P\Sigma : TA = TP : A\varDelta$. sed ratio TP



$: A\varDelta$ minor est ea, quam habet arcus TP ad duplicem ambitum circuli TMN; nam recta TP minor est arcu TP et recta $A\varDelta$ maior quam duplo maior ambitu circuli TMN; quare recta $P\Sigma$ ad AP[1]) minorem rationem habet quam arcus TP ad duplicem ambitum circuli TMN; itaque tota recta ΣA ad AP minorem rationem habet quam arcus TP cum ambitu circuli TMN bis numerato ad ambitum circuli TMN bis numeratum [p. 59 not. 1]. sed quam rationem habent ambitus, quos significauimus, eam habet $XA : AT$; hoc enim demonstratum est [prop. 15 p. 54, 19]; itaque $A\Sigma : AP < XA : TA$; quod fieri non potest.[2]) itaque recta ZA maior non est quam duplo maior ambitu circuli TMN. similiter autem demonstrabimus, eam ne minorem quidem esse quam duplo maiorem; ergo adparet, eam duplo maiorem esse.

et eodem modo demonstrandum, etiam si spiralem qualibet circumactione descriptam recta in termino spiralis contingat, a principio autem spiralis recta ad principium circumactionis perpendicularis ducta in contingentem incidat, eam toties multiplicem esse quam ambitum circuli secundum

1) Nam $AP = AT$.
2) Nam $A\Sigma > XA$ et $AP = TA$; tum u. Eucl. V, 8.

τᾶς τοῦ κύκλου περιφερείας τοῦ κατὰ τὸν ἀριθμὸν τᾶς περιφορᾶς λεγομένου τῷ αὐτῷ ἀριθμῷ.

κ΄.

Εἴ κα τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένας εὐθεῖα γραμμὰ ἐπιψαύῃ μὴ κατὰ τὸ πέρας τᾶς ἕλικος, ἀπὸ δὲ τᾶς ἁφᾶς ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος εὐθεῖα ἐπιζευχθῇ, καὶ κέντρῳ μὲν τᾷ ἀρχᾷ τᾶς ἕλικος, διαστήματι δὲ τᾷ ἐπιζευχθείσᾳ κύκλος γραφῇ, ἀπὸ δὲ τᾶς ἀρχᾶς τᾶς ἕλικος ἀχθῇ τις ποτ᾽ ὀρθὰς τᾷ ἀπὸ τᾶς ἁφᾶς ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἐπιζευχθείσᾳ, συμπεσεῖται αὕτα ποτὶ τὰν ἐπιψαύουσαν, καὶ ἐσσεῖται ἁ μεταξὺ εὐθεῖα τᾶς τε συμπτώσιος καὶ τᾶς ἀρχᾶς τᾶς ἕλικος ἴσα τᾷ περιφερείᾳ τοῦ γραφέντος κύκλου τᾷ μεταξὺ τᾶς ἁφᾶς καὶ τᾶς τομᾶς, καθ᾽ ἃν τέμνει ὁ γραφεὶς κύκλος τὰν ἀρχὰν τᾶς περιφορᾶς, ἐπὶ τὰ προαγούμενα λαμβανομένας τᾶς περιφερείας ἀπὸ τοῦ σαμείου τοῦ ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς.

ἔστω ἕλιξ, ἐφ᾽ ἇς ἁ $ΑΒΓΔ$, ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα, καὶ ἐπιψαυέτω τις αὐτᾶς εὐθεῖα ἁ $ΕΖ$ κατὰ τὸ $Δ$, ἀπὸ δὲ τοῦ $Δ$ ποτὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἐπεζεύχθω ἁ $ΑΔ$, καὶ κέντρῳ μὲν τῷ $Α$, διαστήματι δὲ τῷ $ΑΔ$ κύκλος γεγράφθω ὁ $ΔΜΝ$, τεμνέτω δ᾽ οὗτος τὰν ἀρχὰν τᾶς περιφορᾶς κατὰ τὸ $Κ$, ἄχθω δὲ ἁ $ΖΑ$ ποτὶ τὰν $ΑΔ$ ὀρθά. ὅτι μὲν οὖν αὕτα συμπίπτει, δῆλον· ὅτι δὲ καὶ ἴσα ἐστὶν ἁ $ΖΑ$ εὐθεῖα τᾷ $ΚΜΝΔ$ περιφερείᾳ, δεικτέον.

---


3 κ΄] B, κα΄ A(C). **9** τᾷ] G², om. A(C). **12** συμπτώσιος] scripsi, συμπτωσιας A(C). **14** τᾷ] G², τας AC. ἂν] B, ο AC. **16** προαγούμενα] G, προαγευμενα AC. **18** περιφορᾷ] C, postea add. B, om. A. **19** $ΕΖ$] C, $ΑΕΖ$ A, $ΕΔΖ$ B. **21** ἐπεζεύχθω] des. C. διαστήματι] in -αστ- inc. C. **22** οὗτος] BC, ουτω(ς) A.

numerum circumactionis nominati, quoties indicet idem numerus [prop. 15 p. 54, 10; 17 p. 62, 1].

XX.

Si spiralem prima circumactione descriptam recta linea contingit extra terminum spiralis, a puncto autem contactus ad principium spiralis recta ducitur, et circulus describitur, cuius centrum est principium spiralis, radius autem recta ducta, et a principio spiralis recta ducitur ad rectam a puncto contactus ad principium spiralis ductam perpendicularis, ea in rectam contingentem incidet, et recta inter punctum concursionis principiumque spiralis posita aequalis erit arcui circuli descripti inter punctum contactus sectionemque posito, in qua circulus descriptus principium circumactionis secat, arcu a puncto in principio circumactionis posito ad praecedentia uersus sumpto.

sit spiralis, in qua sit $AB\Gamma\Delta$, prima circumactione descripta, eamque recta aliqua EZ in puncto Δ contingat, a puncto Δ autem ad principium spiralis ducatur $A\Delta$, et centro A, radio autem $A\Delta$ describatur circulus ΔMN, qui principium circumactionis in puncto K secet, et ducatur



recta ZA ad rectam $A\Delta$ perpendicularis. adparet igitur, eam concurrere;[1]) demonstrandum autem, rectam ZA etiam aequalem esse arcui $KMN\Delta$.

nam si non est, aut maior est aut minor. sit prius, si fieri potest, maior, et sumatur recta ΛA minor recta ZA,

1) Sc. cum $Z\Delta$. nam $\angle A\Delta Z$ acutus est (prop. 16).

εἰ γὰρ μή, ἤτοι μείζων ἐστὶν ἢ ἐλάσσων. ἔστω, εἰ δυνατόν, πρότερον μείζων, λελάφθω δέ τις ἁ ΛΑ τᾶς μὲν ΖΑ εὐθείας ἐλάσσων, τᾶς δὲ ΚΜΝΔ περιφερείας μείζων. πάλιν δὴ κύκλος ἐστὶν ὁ ΚΜΝ καὶ ἐν τῷ κύκλῳ γραμμὰ ἐλάσσων τᾶς διαμέτρου ἁ ΔΝ καὶ λόγος, ὃν ἔχει ἁ ΔΑ ποτὶ ΑΛ, μείζων τοῦ, ὃν ἔχει ἁ ἡμίσεια τᾶς ΔΝ ποτὶ τὰν ἀπὸ τοῦ Α κάθετον ἐπ' αὐτὰν ἀγμέναν· δυνατὸν οὖν ἐστιν ἀπὸ τοῦ Α ποτιβαλεῖν τὰν ΑΕ ποτὶ τὰν ΝΔ ἐκβεβλημέναν, ὥστε τὰν ΕΡ ποτὶ τὰν ΔΡ τὸν αὐτὸν ἔχειν λόγον, ὃν ἁ ΔΑ ποτὶ τὰν ΑΛ· δέδεικται γὰρ τοῦτο δυνατὸν ἐόν· ἕξει οὖν καὶ ἁ ΕΡ ποτὶ τὰν ΑΡ τὸν αὐτὸν λόγον, ὃν ἁ ΔΡ ποτὶ τὰν ΑΛ. ἁ δὲ ΔΡ ποτὶ τὰν ΑΛ ἐλάσσονα λόγον ἔχει ἢ ἁ ΔΡ περιφέρεια ποτὶ τὰν ΚΜΔ περιφέρειαν, ἐπεὶ ἁ μὲν ΔΡ ἐλάσσων ἐστὶ τᾶς ΔΡ περιφερείας, ἁ δὲ ΑΛ μείζων τᾶς ΚΜΔ περιφερείας· ἐλάσσονα οὖν λόγον ἔχει ἁ ΕΡ εὐθεῖα ποτὶ ΡΑ ἢ ἁ ΔΡ περιφέρεια ποτὶ τὰν ΚΜΔ περιφέρειαν· ὥστε καὶ ἁ ΑΕ ποτὶ ΑΡ ἐλάσσονα λόγον ἔχει ἢ ἁ ΚΜΡ περιφέρεια ποτὶ τὰν ΚΜΔ περιφέρειαν. ὃν δὲ λόγον ἔχει ἁ ΚΜΡ ποτὶ τὰν ΚΜΔ περιφέρειαν, τοῦτον ἔχει ἁ ΧΑ ποτὶ ΑΔ· ἐλάσσονα ἄρα λόγον ἔχει ἁ ΕΑ ποτὶ ΑΡ ἢ ἁ ΑΧ ποτὶ ΔΑ· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα μείζων ἁ ΖΑ τᾶς ΚΜΔ περιφερείας. ὁμοίως δὲ τοῖς πρότερον δειχθήσεται, ὅτι οὐδὲ ἐλάσσων ἐστίν· ἴσα ἄρα.

διὰ δὲ τοῦ αὐτοῦ τρόπου δειχθήσεται, καὶ εἴ κα τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας ἕλικος ἐπιψαύῃ εὐθεῖα μὴ κατὰ τὸ πέρας τᾶς ἕλικος, τὰ δὲ ἄλλα τὰ αὐτὰ κατασκευασθέωντι, ὅτι ἁ μεταξὺ εὐθεῖα τᾶς ποτὶ τὰν ἐπιψαύουσαν συμπτώσιος καὶ τᾶς ἀρχᾶς τᾶς

sed maior arcu $KMN\Delta$ [prop. 4]. rursus igitur datus est circulus KMN et in circulo recta ΔN minor diametro [p. 65 not. 1] et ratio $\Delta A : A\Lambda$ maior ea, quam habet dimidia recta ΔN ad rectam ab A ad eam perpendicularem ductam [p. 65 not. 2]; fieri igitur potest, ut ab A ad rectam $N\Delta$ productam ducatur recta AE, ita ut sit

$$EP : \Delta P = \Delta A : A\Lambda;$$

nam demonstratum est, hoc fieri posse [prop. 7]; quare erit etiam [Eucl. V, 16] $EP : AP = \Delta P : A\Lambda$.[1]) sed ΔP ad $A\Lambda$ minorem rationem habet quam arcus ΔP ad arcum $KM\Delta$, quoniam recta ΔP minor est arcu ΔP, recta $A\Lambda$ uero maior arcu $KM\Delta$ [lin. 3]; itaque EP ad PA minorem rationem habet quam arcus ΔP ad arcum $KM\Delta$; quare etiam AE ad AP minorem rationem habet quam arcus KMP ad arcum $KM\Delta$ [p. 59 not. 1]. sed quam rationem habet arcus KMP ad arcum $KM\Delta$, eam habet $XA : A\Delta$ [prop. 14]; erit igitur $EA : AP < AX : \Delta A$; quod fieri non potest.[2]) itaque recta ZA arcu $KM\Delta$ maior non est. et eodem modo, quo supra, demonstrabimus, ne minorem quidem eam esse; ergo aequalis est.

et eodem modo demonstrabimus, etiam si spiralem secunda circumactione descriptam recta contingat non in termino spiralis, ceteraque eadem comparentur, rectam[3]) inter punctum concursionis cum contingenti principiumque spiralis comprehensam aequalem esse toti ambitui circuli de-


1) Nam $\Delta A = AP$.
2) Nam $AP = \Delta A$ et $EA > AX$; tum u. Eucl. V, 8.
3) Sc. quae a principio ad rectam a puncto contactus ad principium ductam perpendicularis ducitur (u. p. 72, 9).

13 ΔP (alt.)] e corr. B, AP AC. **17** εὐθεῖα] in εὐ- des. C. **18** ποτὶ] inc. C. **20** τὰν] addidi, om. A(C). **23** ἁ (alt.)] C, om. A. **30** κατασκευασθέωντι] *Torellius*, κατασκευασθεντι AC. **31** συμπτώσιος] scripsi, συμπιπτουσα AC, concidentis B. τᾶς ἀρχᾶς] AC, principium B.

ἕλικος ἴσα ἐστὶν ὅλᾳ τᾷ τοῦ γραφέντος κύκλου περιφερείᾳ καὶ ἔτι τᾷ μεταξὺ τῶν εἰρημένων σαμείων, ὡσαύτως τᾶς περιφερείας λαμβανομένας· καὶ εἴ κα τᾶς ἐν ὁποιαοῦν γεγραμμένας περιφορᾷ ἕλικος ἐπιψαύῃ τις εὐθεῖα μὴ κατὰ τὸ πέρας τᾶς ἕλικος, τὰ δὲ ἄλλα τὰ αὐτὰ κατασκευασθέωντι, ὅτι ἁ μεταξὺ εὐθεῖα τῶν εἰρημένων σαμείων πολλαπλασία τίς ἐστι τᾶς τοῦ γραφέντος κύκλου περιφερείας κατὰ τὸν ἑνὶ ἐλάσσονα ἀριθμὸν τοῦ, καθ' ὃν αἱ περιφοραὶ λέγονται, καὶ ἔτι ἴσα τᾷ μεταξὺ τῶν εἰρημένων σαμείων ὁμοίως λαμβανομένᾳ.

κα'.

Λαμβάνοντα τὸ χωρίον τὸ περιεχόμενον ὑπό τε τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένας καὶ τᾶς εὐθείας τᾶς πρώτας ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς δυνατόν ἐστι περὶ αὐτὸ σχῆμα ἐπίπεδον περιγράψαι καὶ ἄλλο ἐγγράψαι ἐξ ὁμοίων τομέων συγκείμενον, ὥστε τὸ περιγεγραμμένον τοῦ ἐγγεγραμμένου μεῖζον εἶμεν ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.



ἔστω ἕλιξ, ἐφ' ἇς ἁ ΑΒΓΔ, ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα, ἔστω δὲ ἀρχὰ μὲν τᾶς ἕλικος τὸ Θ σαμεῖον, ἀρχὰ δὲ τᾶς περιφορᾶς ἁ ΘΑ, ὁ δὲ πρῶτος κύκλος ὁ ΖΗΙΑ, αἱ δὲ ΑΗ, ΖΙ διαμέτροι αὐτοῦ ποτ' ὀρθὰς ἀλλάλαις. ἀεὶ δὴ τᾶς ὀρθᾶς γωνίας δίχα τεμνομένας καὶ τοῦ τομέως τοῦ τὰν ὀρθὰν γωνίαν περιέχοντος

scripti et praeterea arcui inter puncta, quae commemorauimus [p. 72, 14], comprehenso, arcu eodem modo sumpto; et etiam si spiralem qualibet circumactione descriptam recta contingat non in termino spiralis, ceteraque eadem comparentur, rectam inter puncta, quae commemorauimus, comprehensam toties multiplicem esse quam ambitum circuli descripti, quoties indicet numerus uno minor eo, quo circumactiones nominentur, et praeterea aequalem ⟨arcui⟩ inter puncta, quae commemorauimus, eodem modo sumpto [prop. 15 p. 54, 10; 17 p. 62, 1].

XXI.

Sumpto spatio comprehenso spirali prima circumactione descripta rectaque prima earum, quae in principio circumactionis sunt, fieri potest, ut circum hoc spatium circumscribatur figura plana aliaque inscribatur ex similibus sectoribus compositae, ita ut figura circumscripta excedat inscriptam spatio minore, quam est quodlibet spatium datum.

sit spiralis, in qua sit *ΑΒΓΔ*, prima circumactione descripta, et principium spiralis sit punctum *Θ*, principium autem circumactionis recta *ΘΑ*, et primus circulus *ΖΗΙΑ*, et *ΑΗ*, *ΖΙ* diametri eius inter se perpendiculares. angulo igitur recto et sectore, qui rectum angulum comprehendit, semper deinceps in binas partes aequales diuisis, quae relinquitur pars sectoris, minor erit dato spatio [Eucl. X, 1];

---

4 *περιφορᾷ*] B, *περιφορας* AC. *ἐπιψαύῃ*] A, *ἐπιψαύει* C. **6** *κατασκευασθέωντι*] GH, *κατεσκευασθαιωντι* AC. **8** *ἐνὶ*] C, om. AB. *ἀριθμὸν*] in *ἀ-* des. C. **9** *λέγονται*] inc. C. **10** *λαμβανομένᾳ*] scripsi, *λαμβανομενας* A, accepta periferia B. **11** *κα′*[B, *κβ′* AC. **13** *τᾶς*] des. C. **16** *τομέων*] e corr. G, *τομων* A. **29** *ἀλλάλαις*] *ἀλλήλαις* GH, *αλληλαις* supra apd. comp. *ας* A. In fig. litterarum ordo turbatus in A.

ἐσσεῖται τὸ καταλειπόμενον τοῦ τομέως ἔλασσον τοῦ προτεθέντος· καὶ ἔστω γεγενημένος ὁ τομεὺς ὁ $A\Theta K$ ἐλάσσων τοῦ προτεθέντος χωρίου. διαιρήσθωσαν δὴ αἱ γωνίαι αἱ τέσσαρες ὀρθαὶ εἰς τὰς ἴσας γωνίας τᾷ περιεχομένᾳ ὑπὸ τᾶν $A\Theta$, ΘK, καὶ αἱ ποιοῦσαι τὰς γωνίας εὐθεῖαι ἔστε ποτὶ τὰν ἕλικα ἄχθωσαν. καθ' ὃ δὴ τέμνει σαμεῖον ἁ ΘK τὰν ἕλικα, ἔστω τὸ Λ, καὶ κέντρῳ τῷ Θ, διαστήματι δὲ τῷ $\Theta\Lambda$ κύκλος γεγράφθω· πεσεῖται δὲ αὐτοῦ ἁ μὲν εἰς τὰ προαγούμενα περιφέρεια ἐντὸς τᾶς ἕλικος, ἁ δὲ εἰς τὰ ἑπόμενα ἐκτός. γεγράφθω δὴ ἁ περιφέρεια, ἔστε κα συμπέσῃ τᾷ $\Theta\Lambda$ [κατὰ τὸ O ἁ OM] καὶ τᾷ μετὰ τὰν ΘK εὐθεῖαν ποτὶ τὰν ἕλικα ποτιπιπτούσᾳ. πάλιν δὴ καί, καθ' ὃ τέμνει τὰν ἕλικα σαμεῖον ἁ ΘM, ἔστω τὸ N, καὶ κέντρῳ τῷ Θ, διαστήματι δὲ τῷ ΘN κύκλος γεγράφθω, ἔστε κα συμπέσῃ ἁ περιφέρεια τοῦ κύκλου τᾷ ΘK καὶ τᾷ μετὰ τὰν ΘM ποτιπιπτούσᾳ ποτὶ τὰν ἕλικα, ὁμοίως δὲ καὶ διὰ τῶν ἄλλων πάντων, καθ' ἃ τέμνοντι τὰν ἕλικα αἱ τὰς ἴσας γωνίας ποιοῦσαι, κύκλοι γεγράφθωσαν κέντρῳ τῷ Θ, ἔστ' ἂν συμπέσῃ ἑκάστα ἁ περιφέρεια τᾷ τε προαγουμένᾳ εὐθείᾳ καὶ τᾷ ἑπομένᾳ· ἐσσεῖται δή τι περὶ τὸ λαφθὲν χωρίον περιγεγραμμένον ἐξ ὁμοίων τομέων συγκείμενον καὶ ἄλλο ἐγγεγραμμένον. ὅτι δὲ τὸ περιγεγραμμένον σχῆμα τοῦ ἐγγεγραμμένου μεῖζόν ἐστιν ἐλάσσονι τοῦ προτεθέντος χωρίου, δειχθήσεται. ἔστιν γὰρ ὁ μὲν $\Theta\Lambda O$ τομεὺς ἴσος τῷ $\Theta M\Lambda$, ὁ δὲ $\Theta N\Pi$ τῷ ΘNP, ὁ δὲ $\Theta X\Sigma$ τῷ ΘXT, ἔστιν δὲ καὶ τῶν ἄλλων τομέων ἕκαστος τῶν ἐν τῷ ἐγγεγραμμένῳ σχήματι ἴσος τῷ κοινὰν ἔχοντι πλευρὰν τομεῖ τῶν ἐν τῷ περιγεγραμμένῳ σχήματι τομέων. δῆλον οὖν, ὅτι καὶ πάντες οἱ τομέες

et ortus sit sector $A\Theta K$ dato spatio minor. diuidantur igitur quattuor anguli recti in angulos ei aequales, qui rectis $A\Theta$, ΘK comprehenditur, rectaeque angulos efficientes usque ad spiralem producantur. punctum igitur, in quo recta ΘK spiralem secat, sit $\varLambda$, et describatur circulus, cuius centrum sit Θ, radius autem $\Theta\varLambda$; ea autem pars ambitus eius, quae in praecedentibus est, intra spiralem cadet, quae in sequentibus est, extra. describatur igitur ambitus usque eo, ut rectae ΘA rectaeque post ΘK ad spiralem ductae occurrat. rursus igitur etiam punctum, in quo recta ΘM spiralem secat, sit N, et describatur circulus, cuius centrum sit Θ, radius autem ΘN, usque eo, ut ambitus circuli rectae ΘK rectaeque post ΘM ad spiralem ductae occurrat, et eodem modo etiam per cetera omnia puncta, in quibus rectae aequales angulos efficientes spiralem secant, circuli describantur, quorum centrum sit Θ, usque eo, ut singuli ambitus et praecedenti rectae et sequenti occurrant; itaque circum spatium sumptum ⟨figura⟩ quaedam circumscripta erit et alia inscripta ex similibus sectoribus compositae. demonstrabimus autem, figuram circumscriptam excedere inscriptam spatio minore, quam est datum spatium. est enim sector $\Theta\varLambda O = \Theta M\varLambda$, $\Theta N\Pi = \Theta NP$, $\Theta X\Sigma = \Theta XT$, et ceterorum quoque sectorum unusquisque eorum, qui in figura inscripta sunt, aequalis est sectori latus commune habenti

---

3 *δὴ αἱ*] G, *δη ουν* A, itaque B. **5** *τᾷ περιεχομένᾳ*] *Torellius*, *τας περιεχομενας* AB. **6** *ἔστε ποτὶ*] scripsi, *εσ την κατα* A, equales per in ras. B, *ἐκβεβλήσθωσαν ἔστ' ἂν κατὰ Torellius.* *ἄχθωσαν*] G, *αχθωσιν* A. **9** *γεγράφθω*] in -*γράφθω* inc. C. *δὲ*] C, *δι* A, *δὴ* BG. *προαγούμενα*] scripsi, *προαγομενα* A, *προαγεύμενα* CG. **10** *περιφέρεια*] BCG, *περιφερειαι* A. **11** *ἔστε κα*] scripsi, *εσται καν* AC, et B, *ἔστ' ἄν* mg. G. **12** *κατὰ* — *OM*] ABC; deleo. **14** *τὰν ἕλικα*] AB, om. C. **15** ΘN] BCG, ΘN supra scr. K D; ΘHE, ΘKH H. **16** *ἔστε κα*] scripsi, *εσται και* AC, et B, *ἔστ' ἂν* G. **17** *τᾷ* ΘK] G, om. ABC. **18** *καθ'*] C, *κατ* A. **19** *ἃ*] A, *ἂν* C. **21** *ἑκάστα*] B, *εκαστας* AC, *ἑκάστου* G. *προαγουμένᾳ*] scripsi, *προαγομενᾳ* A, *προαγευμένᾳ* CG. **23** *ἐξ*] ABC, *σχῆμα ἐξ Torellius.* **25** *μεῖζόν*] A, *μείζων* C. *προτεθέντος*] A, *προτεθὲν* C. *ἔστιν*] A, *ἔστι* C. **28** *ἔστιν*] A, *ἔστι* C.

πάντεσσιν ἴσοι ἐσσοῦνται· ἴσον ἄρα ἐστὶν τὸ ἐγγεγραμμένον σχῆμα ἐν τῷ χωρίῳ τῷ περιγεγραμμένῳ περὶ τὸ χωρίον σχήματι χωρὶς τοῦ ΘΑΚ τομέως· μόνος γὰρ οὗτος οὐ λέλαπται τῶν ἐν τῷ περιγεγραμμένῳ σχήματι. δῆλον οὖν, ὅτι τὸ περιγεγραμμένον σχῆμα τοῦ ἐγγεγραμμένου μεῖζόν ἐστι τῷ ΑΚΘ τομεῖ, ὅς ἐλάσσων ἐστὶν τοῦ προτεθέντος.

ΠΟΡΙΣΜΑ.

ἐκ τούτου δὲ φανερόν, ὅτι δυνατόν ἐστι περὶ τὸ εἰρημένον χωρίον σχῆμα, οἷον εἴρηται, γράφειν, ὥστε τὸ περιγεγραμμένον σχῆμα μεῖζον εἶμεν τοῦ χωρίου ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου, καὶ πάλιν ἐγγράφειν, ὥστε τὸ χωρίον ὁμοίως μεῖζον εἶμεν τοῦ ἐγγραφέντος σχήματος ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

κβ΄.

Λαβόντα τὸ χωρίον τὸ περιεχόμενον ὑπὸ τᾶς ἕλικος τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας καὶ τᾶς εὐθείας, ἅ ἐστι δευτέρα τᾶν ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς, δυνατόν ἐστι περὶ αὐτὸ σχῆμα ἐπίπεδον περιγράψαι ἐξ ὁμοίων τομέων συγκείμενον καὶ ἄλλο ἐγγράψαι, ὥστε τὸ περιγραφὲν τοῦ ἐγγραφέντος μεῖζον εἶμεν ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ ΑΒΓΔΕ, ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένα, καὶ ἔστω τὸ μὲν Θ σαμεῖον ἀρχὰ τᾶς ἕλικος, ἁ δὲ ΑΘ ἀρχὰ τᾶς περιφορᾶς, ἁ δὲ ΕΑ ἁ δευτέρα εὐθεῖα τᾶν ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς, ὁ δὲ ΑΖΗ κύκλος ἔστω δεύτερος καὶ αἱ ΑΓΗ, ΖΙ διαμέτροι αὐτοῦ ποτ' ὀρθὰς ἀλλάλαις. πάλιν οὖν δίχα τεμνομένας τᾶς ὀρθᾶς γωνίας καὶ τοῦ τομέως τοῦ τὰν

eorum, qui in figura circumscripta sunt. adparet igitur, etiam omnes sectores omnibus aequales fore; itaque figura in spatio inscripta aequalis est figurae circumscriptae praeter sectorem *ΘAK*; hic enim solus adsumptus non est eorum, qui in figura circumscripta sunt. ergo adparet, figuram circumscriptam excedere inscriptam sectore *AKΘ*, qui minor est spatio dato.

COROLLARIUM.

Hinc autem manifestum est, fieri posse, ut circum spatium, quod commemorauimus, figura huiusmodi describatur, ita ut figura circumscripta spatium excedat spatio minore, quam est quodlibet spatium datum, et rursus inscribatur, ita ut spatium eodem modo figuram inscriptam excedat spatio minore, quam est quodlibet datum spatium.[1])

XXII.

Sumpto spatio comprehenso spirali secunda circumactione descripta rectaque secunda earum, quae in principio circumactionis sunt, fieri potest, ut circum id spatium figura plana circumscribatur et alia inscribatur ex similibus sectoribus compositae, ita ut figura circumscripta excedat inscriptam spatio minore, quam est quodlibet datum spatium.

sit spiralis, in qua sit *ABΓΔE*, secunda circumactione descripta, et punctum *Θ* principium sit spiralis, recta autem *AΘ* principium circumactionis, et recta *EA* secunda earum, quae in principio circumactionis sunt, circulus *AZH* autem secundus sit et *AΓH*, *ZI* diametri eius inter se perpendiculares. rursus igitur recto angulo et sectore rectum angu-

---

1) Nam spatium maius est figura inscripta, minus uero circumscripta.

---

1 *ἐσσοῦνται*] G, *εσουνται* A(C). 4 *οὐ*] add. *Nizzius*, om. AB(C). *λέλαπται*] AB(C), *λέλειπται* G. 6 *AKΘ*] AB, *A·KΘ* C. 8 *πόρισμα*] om. ABC. 12 *ἐλάσσονι*] BG, *ελασσον ειμεν* A, *ἔλασσō*|(⁒) C. 16 *κβ'*] B, *κγ'* A(C). 17 *ὑπὸ*] AC, *ὑπό τε* G. 27 *εὐθεῖα*] in *εὐθεῖ-* des. C. 28 *δὲ*] inc. C. 29 *δίχα*] ABC, *ἀεὶ δίχα* *Torellius*.

ὀρθὰν γωνίαν περιέχοντος ἐσσεῖται τὸ καταλειπόμενον ἔλασσον τοῦ προτεθέντος· καὶ ἔστω γεγενημένος ὁ ΘΚΑ τομεὺς ἐλάσσων τοῦ προτεθέντος χωρίου. διαιρεθεισᾶν δὴ τᾶν ὀρθᾶν γωνιᾶν εἰς τὰς ἴσας γωνίας τᾷ ὑπὸ τᾶν ΚΘΑ καὶ τῶν ἄλλων κατασκευασθέντων κατὰ τὰ αὐτὰ τοῖς πρότερον ἐσσεῖται τὸ περιγεγραμμένον σχῆμα τοῦ ἐγγεγραμμένου σχήματος μεῖζον ἐλάσσονι ἢ ὁ τομεὺς ὁ ΘΚΑ· μεῖζον γὰρ ἐσσεῖται τᾷ ὑπεροχᾷ, ᾇ ὑπερέχει ὁ ΘΚΑ τομεὺς τοῦ ΘΕΡ.

ΠΟΡΙΣΜΑ.


δῆλον οὖν, ὅτι δυνατόν ἐστιν καὶ τὸ περιγραφὲν σχῆμα τοῦ λαφθέντος χωρίου μεῖζον εἶμεν ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου, καὶ πάλιν τὸ λαφθὲν χωρίον μεῖζον εἶμεν τοῦ ἐγγραφέντος σχήματος ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

διὰ δὲ τοῦ αὐτοῦ τρόπου φανερόν, διότι δυνατὸν λαβόντα τὸ χωρίον τὸ περιεχόμενον ὑπό τε τᾶς ἕλικος τᾶς ἐν ὁποιαοῦν περιφορᾷ γεγραμμένας καὶ τᾶς εὐθείας τᾶς ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς κατὰ τὸν αὐτὸν ἀριθμὸν λεγομένας περιγράψαι σχῆμα, οἷον εἴρηται, ἐπίπεδον, ὥστε τὸ περιγραφὲν σχῆμα μεῖζον εἶμεν τοῦ λαφθέντος χωρίου ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου, καὶ πάλιν ἐγγράψαι, ὥστε τὸ λαφθὲν χωρίον μεῖζον εἶμεν τοῦ ἐγγραφέντος σχήματος ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

κγ'.

Λαβόντα τὸ χωρίον τὸ περιεχόμενον ὑπό τε τᾶς ἕλικος, ἅ ἐστιν ἐλάσσων τᾶς ἐν μιᾷ περιφορᾷ γεγραμμένας, οὐκ ἐχούσας πέρας τὰν ἀρχὰν τᾶς ἕλικος καὶ τᾶν εὐθειᾶν τᾶν ἀπὸ τῶν περάτων τᾶς ἕλικος ἀγο-

lum comprehendenti in binas partes aequales diuisis, quod relinquitur, minus erit dato spatio [Eucl. X, 1]; et ortus sit sector $\Theta K A$ dato spatio minor. angulis igitur rectis in angulos aequales angulo rectis $K\Theta$, ΘA comprehenso diuisis ceterisque eodem modo, quo antea, comparatis figura circumscripta excedet inscriptam spatio minore, quam est sector $\Theta K A$; excedet enim spatio, quod est $\Theta K A \div \Theta E P$.



COROLLARIUM.

Adparet igitur, fieri posse, ut figura circumscripta spatium sumptum excedat spatio minore, quam est quodlibet spatium datum, et rursus, ut spatium sumptum figuram inscriptam excedat spatio minore, quam est quodlibet datum spatium [p. 81 not. 1].

et eadem ratione manifestum est, fieri posse, ut sumpto spatio comprehenso spirali qualibet circumactione descripta rectaque eodem numero nominata earum, quae in principio circumactionis sunt, figura plana huiusmodi circumscribatur, ita ut figura circumscripta spatium sumptum excedat spatio minore, quam est quodlibet spatium datum, et rursus inscribatur, ita ut spatium sumptum figuram inscriptam excedat spatio minore, quam est quodlibet datum spatium.

XXIII.


Sumpto spatio comprehenso spirali, quae minor est spirali una circumactione descripta, sed cuius terminus non est prin-

---

7 *μεῖζον*] A, *μείζων* C. 8 *μεῖζον*] *Torellius*, *μειζων* AC. *τᾷ ὑπεροχᾷ*] *excessu* corr. ex *excessus* B, *α υπεροχα* A(C). 10 *πόρισμα*] om. ABC. 11 *ἐστιν*] C, *εστι* A. 12 *λαφθέντος*] CG, *λαμφθεντος* A. *μεῖζον*] A, *μείζων* (C). 16 [°] mg. D. 21 *ὥστε*] BG, *εστω* A(C). 26 *κγ′*] B, *κδ′* A(C).

μενᾶν δυνατόν ἐστι περὶ τὸ χωρίον σχῆμα ἐπίπεδον περιγράψαι ἐξ ὁμοίων τομέων συγκείμενον καὶ ἄλλο ἐγγράψαι, ὥστε τὸ περιγραφὲν σχῆμα τοῦ ἐγγραφέντος μεῖζον εἶμεν ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίον.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ ΑΒΓΔΕ, πέρατα δὲ αὐτᾶς τὰ Α, Ε, ἔστω δὲ ἀρχὰ τᾶς ἕλικος τὸ Θ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΘ, ΘΕ. γεγράφθω δὴ κύκλος κέντρῳ μὲν τῷ Θ, διαστήματι δὲ τῷ ΘΑ, καὶ συμπιπτέτω τᾷ ΘΕ κατὰ τὸ Ζ. ἀεὶ δὲ τᾶς γωνίας τᾶς ποτὶ τῷ Θ καὶ τοῦ τομέως τοῦ ΘΑΖ δίχα τεμνομένων ἐσσεῖται τὸ καταλειπόμενον τοῦ προτεθέντος ἔλασσον. ἔστω ἐλάσσων ὁ τομεὺς ὁ ΘΑΚ τοῦ προτεθέντος. ὁμοίως δὴ τοῖς πρότερον γεγράφθωσαν κύκλοι διὰ τῶν σαμείων, καθ' ἃ τέμνοντι τὰν ἕλικα αἱ τὰς ἴσας γωνίας ποιοῦσαι ποτὶ τῷ Θ, ὥστε τᾶν περιφερειᾶν ἑκάσταν συμπίπτειν τᾷ τε προαγουμένᾳ καὶ τᾷ ἑπομένᾳ· ἐσσεῖται δή τι περὶ τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος καὶ τᾶν ΑΘ, ΘΕ εὐθειᾶν περιγεγραμμένον σχῆμα ἐπίπεδον ἐξ ὁμοίων τομέων συγκείμενον καὶ ἄλλο ἐγγεγραμμένον, καὶ τὸ περιγεγραμμένον τοῦ ἐγγεγραμμένου ἐλάσσονι ὑπερέχει τοῦ προτεθέντος χωρίου· ἐλάσσων γάρ ἐστιν ὁ ΘΑΚ τομεύς.



ΠΟΡΙΣΜΑ.

ἐκ τούτου φανερόν ἐστιν, ὅτι δυνατόν ἐστιν περὶ τὸ εἰρημένον χωρίον σχῆμα ἐπίπεδον, οἷον εἴρηται,

cipium spiralis, et rectis a terminis spiralis ductis fieri potest, ut circum id spatium figura plana circumscribatur et alia inscribatur ex similibus sectoribus compositae, ita ut figura circumscripta excedat inscriptam spatio minore, quam est quodlibet datum spatium.

sit spiralis, in qua sit $AB\Gamma\Delta E$, terminique eius A, E puncta, principium autem spiralis sit Θ, et ducantur rectae $A\Theta$, ΘE. describatur igitur circulus, cuius centrum sit Θ, radius autem ΘA, et cum recta ΘE concurrat in puncto Z. angulo uero ad Θ posito et sectore ΘAZ semper deinceps in binas partes aequales diuisis, quod relinquitur, minus erit spatio dato. sector ΘAK sit dato spatio minor. eodem igitur modo, quo antea, circuli describantur per ea puncta, in quibus rectae aequales angulos ad Θ punctum efficientes spiralem secant, ita ut unusquisque arcus et praecedenti rectae et sequenti occurrat; itaque circum spatium comprehensum spirali $AB\Gamma\Delta E$ rectisque $A\Theta$, ΘE figura plana circumscripta erit et alia inscripta ex similibus sectoribus compositae, et figura circumscripta excedit inscriptam spatio minore, quam est datum spatium; eo enim minor est sector ΘAK.

COROLLARIUM.

Hinc manifestum est, fieri posse, ut circum spatium, quod commemorauimus, figura plana huiusmodi circumscribatur, ita ut figura circumscripta excedat spatium spatio minore,

---


4 *μεῖζον εἶμεν*] AB, *μείζονι μέν* (C). 6 *καί*] des. C. 7 *γεγράφθω*] in -*φθω* inc. C. 9 Z. *ἄεί*] AB, Z*A* | *εἰ* C. *δὲ*] ABC, fort. *δή*. *τῷ*] scripsi, *το* A(C). 11 *ἔλασσον*] A, *ἐλάσσων* C. 15 *τῷ*] G, *τᾳ* AC. 16 *ἑκάσταν*] *Torellius*, *εκαστα* AC, *ἑκάστας* G. 17 *προαγουμένᾳ*] A, *προαγευμένᾳ* C. 19 *περὶ*] *Torellius*, om. ABC. 26 *ἐλάσσων*] CH, *ελασσον* A. 28 *πόρισμα*] om. ABC. 30 *σχῆμα*] addidi, om. ABC.


περιγράψαι, ὥστε τὸ περιγραφὲν σχῆμα μεῖζον εἶμεν τοῦ χωρίου ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου, καὶ πάλιν ἐγγράψαι, ὥστε τὸ εἰρημένον χωρίον μεῖζον εἶμεν τοῦ ἐγγραφέντος σχήματος ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

κδ'.

Τὸ περιλαφθὲν χωρίον ὑπό τε τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένας καὶ τᾶς εὐθείας τᾶς πρώτας τᾶν ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς τρίτον μέρος ἐστὶ τοῦ κύκλου τοῦ πρώτου.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ $ΑΒΓΔΕΘ$, ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα, ἔστω δὲ τὸ μὲν $Θ$ σαμεῖον ἀρχὰ τᾶς ἕλικος, ἁ δὲ $ΘΑ$ εὐθεῖα πρώτα τᾶν ἐν τᾷ ἀρχᾷ τᾶς* περιφορᾶς, ὁ δὲ $ΑΚΖΗΙ$ κύκλος πρῶτος, οὗ τρίτον μέρος ἔστω ὁ, ἐν ᾧ ϛ, κύκλος. δεικτέον, ὅτι ἴσον ἐστὶ τὸ προειρημένον χωρίον τῷ ϛ κύκλῳ.





εἰ γὰρ μή, ἤτοι μεῖζόν ἐστιν ἢ ἔλασσον. ἔστω πρότερον, εἰ δυνατόν, ἔλασσον. δυνατὸν δή ἐστιν περὶ τὸ χωρίον τὸ περιεχόμενον ὑπό τε τᾶς $ΑΒΓΔΕΘ$ ἕλικος καὶ τᾶς $ΑΘ$ εὐθείας περιγράψαι σχῆμα ἐπίπεδον ἐξ ὁμοίων τομέων συγκείμενον, ὥστε τὸ περιγραφὲν σχῆμα μεῖζον εἶμεν τοῦ χωρίου ἐλάσσονι τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει ὁ ϛ κύκλος τοῦ εἰρημένου χωρίου. περιγεγράφθω

quam est quodlibet datum spatium, et rursus inscribatur, ita ut spatium illud figuram inscriptam excedat spatio minore, quam est quodlibet datum spatium [p. 81 not. 1].

XXIV.

Spatium comprehensum spirali prima circumactione descripta rectaque prima earum, quae in principio circumactionis sunt, tertia pars est circuli primi.[1])

sit spiralis, in qua sit *ABΓΔEΘ*, prima circumactione descripta, et punctum *Θ* principium sit spiralis, recta autem *ΘA* prima earum, quae in principio circumactionis sunt, et *AKZHI* circulus primus, cuius tertia pars sit circulus, in quo est littera ϙ. demonstrandum, spatium illud circulo ϙ aequale esse.

nam si non est, aut maius est aut minus. sit prius, si fieri potest, minus. fieri igitur potest, ut circum spatium spirali *ABΓΔEΘ* rectaque *AΘ* comprehensum figura plana circumscribatur ex similibus sectoribus composita, ita ut figura circumscripta spatium excedat spatio minore, quam excessus est, quo circulus ϙ spatium illud excedat [prop. 21 coroll.]. circumscribatur igitur, et sectorum, ex quibus figura illa composita est, maximus sit *ΘAK*, minimus autem *ΘEO*;

---

1) Cfr. p. 8, 23 sqq. idem theorema suis uerbis propositum et propria ratione demonstratum habet Pappus IV, 34 p. 236 —38.

---

3 *καὶ* — **5** *χωρίον*] *Riualtus*, om. ABC. **6** *κδ′*] B, *κε′* AC. **13** *τᾶν*] addidi, om. AC. **14** *AKZHI*] BEGD², *ANZHI* AC. **15** *ὁ*] addidi, om. AC. **20** *ἐστιν*] C, *εστι* A. **22** *ἐστιν*] C, *εστι* A. **27** *συγκείμενον*] *Torellius*, om. AB(C).

δή, καὶ ἔστω τῶν τομέων, ἐξ ὧν σύγκειται τὸ εἰρημένον σχῆμα, μέγιστος μὲν ὁ ΘΑΚ, ἐλάχιστος δὲ ὁ ΘΕΟ· δῆλον οὖν, ὅτι τὸ περιγεγραμμένον σχῆμα ἔλασσόν ἐστιν τοῦ ϛ κύκλου. ἐκβεβλήσθωσαν δὴ αἱ εὐθεῖαι αἱ ποτὶ τῷ Θ ποιοῦσαι τὰς ἴσας γωνίας, ἔστ' ἂν ποτὶ τὰν τοῦ κύκλου περιφέρειαν πεσῶντι· ἐντὶ δή τινες γραμμαὶ αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν ἕλικα ποτιπίπτουσαι τῷ ἴσῳ ἀλλαλᾶν ὑπερέχουσαι, ἂν ἐστι μεγίστα μὲν ἁ ΘΑ, ἐλαχίστα δὲ ἁ ΘΕ, καὶ ἁ ἐλαχίστα ἴσα τᾷ ὑπεροχᾷ, ἐντὶ δὲ καὶ ἄλλαι τινὲς γραμμαὶ αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν περιφέρειαν τοῦ κύκλου ποτιπίπτουσαι τῷ μὲν πλήθει ἴσαι ταύταις, τῷ δὲ μεγέθει ἑκάστα ἴσα τᾷ μεγίστᾳ, καὶ ἀναγεγράφαται ἀπὸ πασᾶν ὁμοίοι τομέες, ἀπό τε τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν καὶ ἀπὸ τᾶν ἰσᾶν ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ· οἱ ἄρα τομέες οἱ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ ἐλάσσονές ἐντι ἢ τριπλασίοι τῶν τομέων τῶν ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν· δέδεικται γὰρ τοῦτο. ἐντὶ δὲ οἱ μὲν τομέες οἱ ἀπὸ τᾶν ἰσᾶν ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ ἴσοι τῷ ΑΖΗΙ κύκλῳ, οἱ δὲ τομέες οἱ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν ἴσοι τῷ περιγεγραμμένῳ σχήματι· ἐλάσσων ἄρα ὁ ΑΖΗΙ κύκλος τοῦ περιγεγραμμένου σχήματος ἢ τριπλασίων. τοῦ δὲ ϛ κύκλου τριπλασίων· ἐλάσσων ἄρα ὁ ϛ κύκλος τοῦ περιγεγραμμένου σχήματος. οὐκ ἔστι δέ, ἀλλὰ μείζων· οὐκ ἄρα ἐστὶν τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ΑΒΓΔΕΘ ἕλικος καὶ τᾶς ΑΘ ἔλασσον τοῦ ϛ χωρίου.

---

1 *ἔστω*] des. C. **2** *ὁ* (pr.)] inc. C. **4** *ἐστιν*] C, *εστι* A. *δὴ*] scripsi coll. p. 90, 10; *δε* ABC. *αἱ εὐθεῖαι αἱ*] scripsi praeeunte *Torellio*, *ευθειαι* AC. **5** *τῷ*] scripsi, *το* AC. **7** *αἱ*] addidi, om. AC. **8** *μεγίστα*] scripsi, *μειζων* AB(C). **9** *ἐλαχίστα* (pr.)] scripsi, *ελασσων* AB(C). **10** *αἱ*] addidi, om. A(C). **13**

itaque adparet, figuram circumscriptam minorem esse circulo ϙ.[1]) iam rectae, quae ad punctum *Θ* aequales angulos efficiunt, usque eo producantur, ut ad ambitum circuli perueniant. sunt igitur rectae quaedam, eae scilicet, quae a puncto *Θ* ad spiralem ductae sunt, aequali spatio inter se excedentes, quarum maxima est *ΘΑ*, minima autem *ΘΕ*, et minima excessui aequalis est,[2]) et aliae quoque rectae sunt, eae scilicet, quae a puncto *Θ* ad circuli ambitum ductae sunt, numero illis aequales, magnitudine autem singulae aequales maximae, in omnibus autem similes sectores constructi sunt, et in iis, quae aequali spatio inter se excedunt, et in iis, quae inter se maximaeque aequales sunt; itaque sectores in rectis maximae aequalibus constructi minores sunt quam triplo maiores sectoribus in rectis aequali spatio inter se excedentibus constructis; hoc enim demonstratum est [prop. 10 coroll. p. 36, 6 sqq.]. sed sectores in rectis inter se maximaeque aequalibus constructi aequales sunt circulo *ΑΖΗΙ*, sectores autem in rectis aequali spatio inter se excedentibus constructi aequales sunt figurae circumscriptae; itaque circulus *ΑΖΗΙ* minor est quam triplo maior figura circumscripta. uerum circulo ϙ triplo maior est; itaque circulus ϙ minor est figura circumscripta. at non minor est, sed maior; quare spatium spirali *ΑΒΓΔΕΘ* rectaque *ΑΘ* comprehensum minus non est spatio ϙ.

1) Sit spatium illud *R*, figura autem circumscripta *F*; tum erit ex hypothesi $F \div R < \text{ϙ} \div R$, h. e. $F < \text{ϙ}$.


2) Rectas *ΘΕ*, *ΘΔ*, *ΘΓ*, *ΘΒ* cett. aequali spatio inter se excedere, adparet ex prop. 12, quia angulos aequales faciunt. rectam autem *ΘΕ* excessui aequalem esse, siue $ΘΕ = \frac{1}{4} ΘΔ$, sequitur ex prop. 1; nam cum anguli aequales sint, tempus tempore duplo maius est.

ἀναγεγράφαται] scripsi, αναγεγραπται AC, defendit *Ahrens*, De Gr. ling. dial. II p. 333. 17 ἀλλαλᾶν] CGH, αλλαλα A. 20 *ΑΖΗΙ*] AB, corr. ex *ΑΖΗ* C. 21 περιγεγραμμένῳ] AB, προγεγραμμένῳ C. 22 *ΑΖΗΙ*] scripsi, *ΑΖΗΙΚ* AC, *akzhi* B. κύκλος] des. C. 23 σχήματος] in -τος inc. C. 26 ἐστὶν] A, ἐστὶ C. 27 ἔλασσον] A, ἐλάσσων C. χωρίου] ABC, κύκλου G. ἑξῆς τὸ σχᾶμα add. C.

οὐδὲ τοίνυν μεῖζον. ἔστω γάρ, εἰ δυνατόν, μεῖζον. ἔστι δὴ πάλιν δυνατὸν εἰς τὸ χωρίον τὸ περιεχόμενον ὑπὸ τᾶς $ΑΒΓΔΕΘ$ ἕλικος καὶ τᾶς $ΑΘ$ εὐθείας ἐγγράψαι σχῆμα, ὥστε τὸ εἰρημένον χωρίον τοῦ ἐγγραφέντος σχήματος μεῖζον εἶμεν ἐλάσσονι, ἢ ᾧ ὑπερέχει τὸ εἰρημένον χωρίον τοῦ ϙ κύκλου. ἐγγεγράφθω δή, καὶ ἔστω τῶν τομέων, ἐξ ὧν σύγκειται τὸ ἐγγεγραμμένον σχῆμα, μέγιστος μὲν ὁ $ΘΡΞ$, ἐλάχιστος δὲ ὁ $ΟΘΕ$· δῆλον οὖν, ὅτι τὸ ἐγγεγραμμένον σχῆμα μεῖζόν ἐστιν τοῦ ϙ κύκλου. ἐκβεβλήσθωσαν δὴ αἱ ποιοῦσαι τὰς ἴσας γωνίας ποτὶ τῷ $Θ$, ἔστε κα ποτὶ τὰν τοῦ κύκλου περιφέρειαν πεσῶντι. πάλιν οὖν ἐντί τινες γραμμαὶ τῷ ἴσῳ ἀλλαλᾶν ὑπερέχουσαι αἱ ἀπὸ τοῦ $Θ$ ποτὶ τὰν ἕλικα ποτιπίπτουσαι, ἃν ἐστι μεγίστα μὲν ἁ $ΘΑ$, ἐλαχίστα δὲ ἁ $ΘΕ$, καί ἐστιν ἁ ἐλαχίστα ἴσα τᾷ ὑπεροχᾷ, ἐντὶ δὲ καὶ ἄλλαι γραμμαὶ αἱ ἀπὸ τοῦ $Θ$ ποτὶ τὰν τοῦ $ΑΖΗΙ$ κύκλου περιφέρειαν ποτιπίπτουσαι τῷ μὲν πλήθει ἴσαι ταύταις, τῷ δὲ μεγέθει ἑκάστα ἴσα τᾷ μεγίστᾳ, καὶ ἀναγεγράφαται ἀπὸ πασᾶν ὁμοίοι τομέες ἀπό τε τᾶν ἰσᾶν ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ καὶ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν· οἱ ἄρα τομέες οἱ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ μείζονές ἐντι ἢ τριπλασίοι τῶν τομέων τῶν ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας· δέδεικται γὰρ τοῦτο. ἐντὶ δὲ οἱ μὲν τομέες οἱ ἀπὸ τᾶν ἰσᾶν τᾷ

1 κϛʹ add. AC. 3 $ΑΒΓΔΕΘ$] B, $ΑΒΓΔΘ$ AC. 8 ἐλάχιστος] G, ελασσων ABC. 9 $ΟΘΕ$] B, $ΘΕ$ AC. ὅτι] BCG, om. A. μεῖζόν] A, μείζω^ο^ν C. 10 ἐστιν] C, εστι A. 11 τῷ] scripsi, το AC. ἔστε κα] ἔστ' ἂν κα C, εστ' αν A. 13 αἱ] addidi, om. AC. 16 αἱ] addidi, om. AC. $Θ$] des. C. 18 πλήθει] inc. C. 19 ἀναγεγράφαται] CG, αναγεγραφονται A. 22 ἐντι] AB, ἐν τε C.

sed ne maius quidem est. sit enim, si fieri potest, maius. itaque rursus fieri potest, ut in spatio spirali $AB\Gamma\Delta E\Theta$ rectaque $A\Theta$ comprehenso figura inscribatur, ita ut spatium, quod commemorauimus, figuram inscriptam excedat spatio minore, quam quanto spatium illud circulum ϛ excedit [prop. 21 coroll.]. inscribatur igitur, et sectorum, ex quibus composita est figura inscripta, maximus sit $\Theta P\Xi$, minimus autem $O\Theta E$; adparet igitur, figuram inscriptam maiorem esse circulo ϛ.[1]) iam rectae ad punctum Θ aequales angulos efficientes usque eo producantur, ut ad ambitum circuli perueniant. rursus igitur rectae quaedam sunt aequali spatio inter se excedentes, eae scilicet, quae a puncto Θ ad spiralem ductae sunt [prop. 12], quarum maxima est ΘA, minima autem ΘE, et minima excessui aequalis est [p. 89 not. 2], et aliae quoque rectae sunt, quae a puncto Θ ad ambitum circuli $AZHI$ ductae sunt, numero illis aequales, magnitudine autem singulae maximae aequales, in omnibus autem sectores similes constructi sunt, et in iis, quae inter se maximaeque aequales sunt, et in iis, quae aequali spatio inter se excedunt; itaque sectores in rectis maximae aequalibus constructi maiores sunt quam triplo maiores sectoribus in rectis aequali spatio inter se excedentibus constructis praeter sectorem in maxima constructum; hoc enim demonstratum est [prop. 10 coroll. p. 36, 6 sqq.]. sed sectores in rectis



1) Sit figura inscripta f, spatium illud R; erit ex hypothesi $R \div f < R \div$ ϛ, h. e. $f >$ ϛ.

μεγίστᾳ ἴσοι τῷ *ΑΖΗΙ* κύκλῳ, οἱ δὲ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας ἴσοι τῷ ἐγγεγραμμένῳ σχήματι· μείζων ἄρα ὁ *ΑΖΗΙ* κύκλος ἢ τριπλασίων τοῦ ἐγγεγραμμένου σχήματος. τοῦ δὲ ϛ κύκλου τριπλασίων· μείζων ἄρα ἐστὶν ὁ ϛ κύκλος τοῦ ἐγγεγραμμένου σχήματος. οὐκ ἔστιν δέ, ἀλλὰ ἐλάσσων· οὐκ ἄρα ἐστὶν οὐδὲ μεῖζον τὸ χωρίον τὸ ὑπό τε τᾶς *ΑΒΓΔΕΘ* ἕλικος καὶ τᾶς *ΑΘ* εὐθείας τοῦ ϛ κύκλου. ἴσον ἄρα ἐστίν [τῷ περιλαφθέντι ὑπὸ τᾶς ἕλικος καὶ τᾶς *ΑΘ* εὐθείας].

κε΄.

Τὸ περιλαφθὲν χωρίον ὑπό τε τᾶς ἕλικος τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας καὶ τᾶς εὐθείας τᾶς δευτέρας τᾶν ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς ποτὶ τὸν δεύτερον κύκλον τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει τὰ ζ̅ ποτὶ τὰ ι̅β̅, ὅς ἐστιν ὁ αὐτὸς τῷ, ὃν ἔχει τὰ συναμφότερα τό τε περιεχόμενον ὑπὸ τᾶς ἐκ τοῦ κέντρου τοῦ δευτέρου κύκλου καὶ τᾶς ἐκ τοῦ κέντρου τοῦ πρώτου κύκλου καὶ τὸ τρίτον μέρος τοῦ τετραγώνου τοῦ ἀπὸ τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει ἁ ἐκ τοῦ κέντρου τοῦ δευτέρου κύκλου τᾶς ἐκ τοῦ κέντρου τοῦ πρώτου κύκλου ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ἐκ τοῦ κέντρου τοῦ δευτέρου κύκλου.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ *ΑΒΓΔΕ*, ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένα, ἔστω δὲ τὸ μὲν *Θ* σαμεῖον ἀρχὰ τᾶς ἕλικος, ἁ δὲ *ΘΕ* εὐθεῖα ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς ἁ πρώτα, ἁ δὲ *ΑΕ* ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς ἁ δευτέρα, ὁ δὲ κύκλος ὁ *ΑΖΗΙ* ὁ δεύτερος ἔστω, καὶ αἱ *ΑΗ*, *ΙΖ* διαμέτροι ποτ' ὀρθὰς ἀλλάλαις. δεικτέον, ὅτι τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς *ΑΒΓΔΕ*

maximae aequalibus constructi aequales sunt circulo *AZHI*, sectores autem in rectis aequali spatio inter se excedentibus constructi praeter sectorem in maxima constructum aequales sunt figurae inscriptae; itaque circulus *AZHI* maior est quam triplo maior figura inscripta. uerum circulo ϙ triplo maior est; quare circulus ϙ maior est figura inscripta. at non maior est, sed minor; itaque spatium spirali *ABΓΔEΘ* rectaque *AΘ* comprehensum ne maius quidem est circulo ϙ. ergo aequale est.[1])

XXV.

Spatium comprehensum spirali secunda circumactione descripta rectaque secunda earum, quae in principio circumactionis sunt, ad circulum secundum eam habet rationem, quam 7 : 12, quae eadem est ratio, quam habet rectangulum comprehensum radio secundi circuli radioque primi una cum tertia parte quadrati eius excessus, quo radius secundi circuli radium primi excedit, ad quadratum radii secundi circuli.

sit spiralis, in qua sit *ABΓΔE*, secunda circumactione descripta, et punctum *Θ* principium sit spiralis, recta autem *ΘE* prima earum, quae in principio circumactionis sunt, *AE* uero secunda, et circulus *AZHI* secundus sit, *AH*, *IZ* autem diametri inter se perpendiculares. demonstrandum,

1) Quoniam de spatio agitur, non de circulo (cfr. p. 86, 16), ἴσον lin. 9 retinendum est. sed tum τῷ lin. 9 — εὐθείας lin. 10 delenda.

---

2 ἀπὸ] BG, υπο AC. 5 δὲ] AB, om. C. τριπλασίων] A, miro comp. C. 6 ἔστιν] C, εστι A. 8 *ABΓΔEΘ*] B *ABHEΘ* AC. 9 ἴσον] AB, ἴσος C. 11 κε′] B, κζ′ AC. 12 τὸ περιλαφθὲν] addidi, om. AB(C). 18 δευτέρου] $\bar{\beta}$ AC. 19 πρώτου] $\bar{\alpha}$ AC. 21 δευτέρου] $\bar{\beta}$ AC. πρώτου] $\bar{\alpha}$ AC. 23 δευτέρου] $\bar{\beta}$ AC. 27 πρώτα] des. C. 28 ὁ δὲ] inc. C.

ἕλικος καὶ τᾶς *ΑΕ* εὐθείας ποτὶ τὸν *ΑΖΗΙ* κύκλον λόγον ἔχει, ὃν τὰ ζ̅ ποτὶ ι̅β̅.

ἔστω δή τις κύκλος ὁ ϛ, ἁ δὲ ἐκ τοῦ κέντρου τοῦ ϛ κύκλου δυνάμει ἴσα τῷ τε ὑπὸ τᾶν *ΑΘ*, *ΘΕ* περιεχομένῳ καὶ τῷ τρίτῳ μέρει τοῦ ἀπὸ τᾶς *ΑΕ* τετραγώνου· ἕξει δὴ ὁ ϛ κύκλος ποτὶ τὸν *ΑΗΖΙ*, ὡς ζ̅ ποτὶ ι̅β̅, διότι καὶ ἁ ἐκ τοῦ κέντρου αὐτοῦ ποτὶ τὰν ἐκ τοῦ κέντρου τοῦ *ΑΖΗΙ* κύκλου τοῦτον ἔχει δυνάμει τὸν λόγον. δειχθήσεται οὖν ἴσος ὁ ϛ κύκλος τῷ περιεχομένῳ χωρίῳ ὑπό τε τᾶς *ΑΒΓΔΕ* ἕλικος καὶ τᾶς *ΑΕ* εὐθείας.


εἰ γὰρ μή, ἤτοι μείζων ἐστὶν ἢ ἐλάττων. ἔστω δὴ πρότερον, εἰ δυνατόν, μείζων. δυνατὸν δή ἐστι περὶ τὸ χωρίον περιγράψαι σχῆμα ἐπίπεδον ἐξ ὁμοίων τομέων συγκείμενον, ὥστε τὸ περιγραφὲν σχῆμα μεῖζον εἶμεν τοῦ χωρίου ἐλάσσονι, ἢ ᾧ ὑπερέχει ὁ ϛ κύκλος τοῦ χωρίου. περιγεγράφθω, καὶ ἔστω, ἐξ ὧν σύγκειται τὸ περιγεγραμμένον σχῆμα, μέγιστος μὲν ὁ *ΘΑΚ* τομεύς, ἐλάχιστος δὲ ὁ *ΘΟΔ*· δῆλον οὖν, ὅτι τὸ περιγραφὲν σχῆμα ἔλασσόν ἐστιν τοῦ κύκλου. ἐκβεβλήσθωσαν αἱ εὐθεῖαι αἱ ποιοῦσαι ποτὶ τῷ *Θ* ἴσας γωνίας, ἔστ' ἂν ποτὶ τὰν τοῦ δευτέρου κύκλου περιφέρειαν πεσῶντι. ἐντὶ δή τινες γραμμαὶ τῷ ἴσῳ ἀλλαλᾶν ὑπερέχουσαι αἱ ἀπὸ τοῦ *Θ* ποτὶ τὰν ἕλικα ποτιπίπτουσαι, ἃν ἐστι μεγίστα μὲν ἁ *ΘΑ*, ἐλαχίστα δὲ ἁ *ΘΕ*, ἐντὶ δὲ καὶ ἄλλαι [γραμμαὶ αἱ ἀπὸ τοῦ *Θ* ποτὶ τὰν τοῦ

---

6 ζ̅] A, ἑπτὰ C. 7 ι̅β̅] A, δώδεκα C. 13 πρότερον] des. C. 14 περιγράψαι] in -ψαι inc. C. 16 ὑπερέχει] B(C)G, περεχει A. 20 ἔλασσόν] C, ελαττον A. ἐστιν] C, εστι A. 21 τῷ] scripsi, το ̈ AC. 24 ποτιπίπτουσαι] G, ποτιπιπτουσιν AB(C). 26 ποτὶ] scripsi, επι AC. In fig. *Γ* om. A.

spatium spirali $AB\Gamma\Delta E$ rectaque AE comprehensum ad circulum $AZHI$ eam rationem habere, quam 7 : 12.

sit igitur circulus quidam ϙ, radius autem eius quadratus sit $= A\Theta \times \Theta E + \frac{1}{3} AE^2$; itaque circulus ϙ ad circulum $AHZI$ eam rationem habebit, quam 7 : 12, quia radius eius quadratus ad radium circuli $AZHI$ quadratum hanc rationem habet [Eucl. XII, 2].[1]) demonstrabimus igitur, circulum ϙ aequalem esse spatio spirali $AB\Gamma\Delta E$ rectaque AE comprehenso.



nam si aequalis non est, aut maior est aut minor. prius igitur, si fieri potest, maior sit. fieri igitur potest, ut circum spatium circumscribatur figura plana ex similibus sectoribus composita, ita ut figura circumscripta spatium excedat spatio minore, quam quanto circulus ϙ spatium excedit [prop. 22 coroll.]. circumscribatur, et eorum, ex quibus composita est figura circumscripta, maximus sit sector ΘAK, minimus autem $\Theta O\Delta$; adparet igitur, figuram circumscriptam minorem esse circulo [p. 89 not. 1]. producantur rectae ad punctum Θ aequales angulos efficientes usque eo, ut ad ambitum circuli secundi perueniant. sunt igitur rectae quaedam aequali spatio inter se excedentes [prop. 12], eae scilicet, quae a puncto Θ ad spiralem ductae sunt, quarum maxima est ΘA, minima autem ΘE, et aliae quoque rectae sunt, quae a puncto Θ ad ambitum circuli $AZHI$ ductae sunt,

1) Nam $A\Theta \times \Theta E + \frac{1}{3} AE^2 : A\Theta^2 = 2\Theta E^2 + \frac{1}{3}\Theta E^2 : 4\Theta E^2 = 6\Theta E^2 + \Theta E^2 : 12\Theta E^2 = 7 : 12$, quia $\Theta E = AE$. sit enim ambitus circuli primi p; erit $\Theta E : \Theta A = p : 2p$ (prop. 15).

ΑΖΗΙ κύκλου περιφέρειαν ποτιπίπτουσαι, τῷ μὲν πλήθει μιᾷ ἐλάσσονες ταυτᾶν, τῷ δὲ μεγέθει ἀλλάλαις τε ἴσαι καὶ τᾷ μεγίστᾳ, καὶ ἀναγεγράφαται ὁμοῖοι τομέες ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ καὶ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν, ἀπὸ δὲ τᾶς ἐλαχίστας οὐκ ἀναγράφεται· οἱ ἄρα τομέες οἱ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ ποτὶ τοὺς τομέας τοὺς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς ἐλαχίστας ἐλάσσονα λόγον ἔχοντι ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς μεγίστας τᾶς ΘΑ ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΑΘ, ΘΕ περιεχόμενον καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΕΑ τετραγώνου· δέδεικται γὰρ τοῦτο. ἐντὶ δὲ τοῖς μὲν τομέεσσι τοῖς ἀπὸ τᾶν ἰσᾶν ἀλλάλαις καὶ τᾷ μεγίστᾳ ἴσος ὁ ΑΖΗΙ κύκλος, τοῖς δὲ τομέεσσιν τοῖς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς ἐλαχίστας ἴσον τὸ περιγεγραμμένον σχῆμα· ἐλάσσονα ἄρα λόγον ἔχει ὁ κύκλος ποτὶ τὸ περιγεγραμμένον σχῆμα ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΑΘ ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΑΘ, ΘΕ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΑΕ τετραγώνου. ὃν δὲ λόγον ἔχει τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘΑ ποτὶ τὸ ὑπὸ τᾶν ΘΑ, ΘΕ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΑΕ τετραγώνου, τοῦτον ἔχει ὁ ΑΖΗΙ κύκλος ποτὶ τὸν ϙ κύκλον· ἐλάσσονα οὖν λόγον ἔχει ὁ ΑΖΗΙ κύκλος ποτὶ τὸ περιγεγραμμένον σχῆμα ἢ ποτὶ τὸν ϙ κύκλον· ὥστε ἐλάσσων ἐστὶν ὁ ϙ κύκλος τοῦ περιγεγραμμένου σχήματος. οὐκ ἔστι δέ, ἀλλὰ μείζων· οὐκ ἄρα μείζων ἐστὶν ὁ ϙ κύκλος τοῦ χωρίου τοῦ περιεχομένου ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος καὶ τᾶς ΑΖ εὐθείας.

οὐδὲ τοίνυν ἐλάσσων. ἔστω γάρ, εἰ δυνατόν, ἐλάσσων. πάλιν οὖν δυνατόν ἐστιν εἰς τὸ χωρίον τὸ περι-

numero una pauciores illis, magnitudine autem et inter se et maximae aequales, et constructi sunt sectores similes in rectis maximae aequalibus in iisque, quae aequali spatio inter se excedunt, in minima autem nullus constructus est; itaque sectores in rectis maximae aequalibus constructi ad sectores in rectis aequali spatio inter se excedentibus constructos praeter sectorem in minima constructum minorem rationem habent quam

$$\Theta A^2 : A\Theta \times \Theta E + \tfrac{1}{3} EA^2;$$

hoc enim demonstratum est [prop. 11 coroll.]. sed sectoribus in rectis inter se maximaeque aequalibus constructis aequalis est circulus $AZHI$, sectoribus autem in rectis aequali spatio inter se excedentibus constructis praeter sectorem in minima constructum aequalis est figura circumscripta; itaque circulus $\langle AZHI \rangle$ ad figuram circumscriptam minorem rationem habet quam $A\Theta^2 : A\Theta \times \Theta E + \frac{1}{3} AE^2$. est autem

$$AZHI : \text{϶} = \Theta A^2 : \Theta A \times \Theta E + \tfrac{1}{3} AE^2$$

[Eucl. V, 7 coroll.]; quare circulus $AZHI$ ad figuram circumscriptam minorem rationem habet quam ad circulum ϶; quare circulus ϶ minor est figura circumscripta [Eucl. V, 10]. at non est minor, uerum maior; itaque circulus ϶ maior non est spatio spirali $AB\Gamma\Delta E$ rectaque AE comprehenso.

sed ne minor quidem est. sit enim, si fieri potest, minor. rursus igitur fieri potest, ut in spatio comprehenso spirali


---

2 *ἐλάσσονες*] C, *ελασσων* A, *ἐλάσσους* G. *ταυτᾶν*] scripsi, *εαυταν* A(C). 5 *ἀναγράφεται*] A, *ἀναγεγράφεται* C, *ἀναγέγραπται* G. 7 *ἀλλαλᾶν*] CG, e corr. H, *αλλαν* A. 8 *ἀπὸ*] des. C. *λόγον*] in -*γον* inc. C. 12 *τομέεσσι*] G, *τομεσσι* A, *τομέσι* CEH. 13 *ἀλλάλαις*] G, e corr. E, *αλλαλας* AC. 14 $AZHI$] CG, e corr. B, AZH A. *τομέεσσιν*] G, *τομέεσσι* C, *τομεσιν* A. 16 *σχῆμα*] AB, om. C. 21 ΘE] e corr. B, AE A(C). 30 *κη'* A.

εχόμενον ὑπό τε τᾶς ἕλικος καὶ τᾶς ΑΕ εὐθείας ἐγγράψαι σχῆμα ἐπίπεδον ὑπὸ ὁμοίων τομέων συγκείμενον, ὥστε τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος καὶ τᾶς ΑΕ εὐθείας μεῖζον εἶμεν τοῦ ἐγγεγραμμένου σχήματος ἐλάσσονι, ἢ ᾧ ὑπερέχει τὸ αὐτὸ χωρίον τοῦ ϙ κύκλου. ἐγγεγράφθω οὖν, καὶ ἔστω τῶν τομέων, ἐξ ὧν σύγκειται τὸ ἐγγεγραμμένον σχῆμα, μέγιστος μὲν ὁ ΘΚΡ τομεύς, ἐλάχιστος δὲ ὁ ΘΕΟ· δῆλον οὖν, ὅτι τὸ ἐγγεγραμμένον σχῆμα μεῖζόν ἐστι τοῦ ϙ κύκλου. ἐκβεβλήσθωσαν αἱ ποιοῦσαι ἴσας γωνίας ποτὶ τῷ Θ, ἔστ' ἂν ποτὶ τὰν τοῦ κύκλου περιφέρειαν πεσῶντι. πάλιν οὖν ἐντί τινες γραμμαὶ τῷ ἴσῳ ἀλλαλᾶν ὑπερέχουσαι αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν ἕλικα ποτιπίπτουσαι, ἇν μεγίστα μὲν ἁ ΘΑ, ἐλαχίστα δὲ ἁ ΘΕ, ἐντὶ δὲ καὶ ἄλλαι γραμμαὶ αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν τοῦ κύκλου περιφέρειαν ποτιπίπτουσαι τῷ μὲν πλήθει μιᾷ ἐλάσσους ταυτᾶν, τῷ δὲ μεγέθει ἴσαι ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ, καὶ ἀναγεγράφαται ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν ὁμοίοι τομέες καὶ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ· οἱ ἄρα τομέες οἱ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ ποτὶ τοὺς τομέας τοὺς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας μείζονα λόγον ἔχοντι ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘΑ ποτὶ τὰ συναμφότερα τό τε περιεχόμενον ὑπὸ τᾶν ΑΘ, ΘΕ καὶ τὸ τρίτον τοῦ ἀπὸ τᾶς ΕΑ τετραγώνου. ἔστιν δὲ τοῖς μὲν τομέεσσιν τοῖς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας ἴσον τὸ ἐγ-

4 *μεῖζον εἶμεν*] AB, *μείζονι μὲν* C. 8 *ΘΚΡ*] B(C)EG, *ΘΚΡ* supra scr. *Χ* D, *ΘΧΡ* supra scr. *Η* H. 11 *τῷ*] C, *το* A. 17 *μιᾷ*] G, *μιαν* A(C). *ταυτᾶν*] scripsi, *ταυτη* A, *ταυτα* C, *αὐτᾶν* G. 21 *μεγίστᾳ*] in *με-* des. C. *ἀπὸ*] in *-πὸ* inc. C.

rectaque AE figura plana inscribatur ex similibus sectoribus composita, ita ut spatium spirali $AB\Gamma\Delta E$ rectaque AE comprehensum figuram inscriptam excedat spatio minore, quam quanto idem spatium circulum ϙ excedit [prop. 22 coroll.]. inscribatur igitur, et sectorum, ex quibus figura inscripta composita est, maximus sit ΘKP, minimus autem ΘEO; adparet igitur, figuram inscriptam maiorem esse circulo ϙ [p. 91 not.]. producantur rectae ad punctum Θ aequales angulos efficientes usque eo, ut ad ambitum circuli perueniant. rursus igitur rectae quaedam sunt aequali spatio inter se excedentes, eae scilicet, quae a puncto Θ ad spiralem ductae sunt [prop. 12], quarum maxima est ΘA, minima autem ΘE, et aliae quoque rectae sunt, quae a puncto Θ ad ambitum circuli ductae sunt, numero una pauciores illis, magnitudine autem et inter se et maximae aequales, sectores autem similes constructi sunt et in rectis aequali spatio inter se excedentibns et in rectis maximae aequalibus; itaque sectores in rectis maximae aequalibus constructi ad sectores in rectis aequali spatio inter se excedentibus constructos praeter sectorem in maxima constructum maiorem rationem habent quam



$$\Theta A^2 : A\Theta \times \Theta E + \tfrac{1}{3} EA^2 \text{ [prop. 11 coroll.]}.$$

sed sectoribus in rectis aequali spatio inter se excedentibus constructis praeter sectorem in maxima constructum aequalis

24 ὑπὸ] scripsi, υπο τε AC. 25 τρίτον] AC, τρίτον μέρος G. ἐστιν] A, ἐστι C. 26 τομέεσσιν] τομευσιν A, τομεῦσι C. 27 ἀπὸ] BG, υπο AC.

γεγραμμένον σχῆμα ἐν τῷ χωρίῳ, τοῖς δὲ ἑτέροις ὁ κύκλος· μείζονα οὖν λόγον ἔχει ὁ $AZHI$ κύκλος ποτὶ τὸ ἐγγεγραμμένον σχῆμα ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘA ποτὶ τὸ ὑπὸ τᾶν ΘA, ΘE καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς AE τετραγώνου, τουτέστιν ὁ $AZHI$ κύκλος ποτὶ τὸν ϛ κύκλον. μείζων ἄρα ἐστὶν ὁ ϛ κύκλος τοῦ ἐγγεγραμμένου σχήματος· ὅπερ ἀδύνατον· ἦν γὰρ ἐλάσσων. οὐκ ἄρα ἐστὶν οὐδὲ ἐλάσσων ὁ ϛ κύκλος τοῦ περιεχομένου χωρίου ὑπό τε τᾶς $AB\Gamma\Delta E$ ἕλικος καὶ τᾶς AE εὐθείας· ὥστε ἴσος.

ΠΟΡΙΣΜΑ.

διὰ δὲ τοῦ αὐτοῦ τρόπου δειχθήσεται καί, διότι τὸ περιλαφθὲν χωρίον ὑπό τε τᾶς ἕλικος τᾶς ἐν ὁποιαοῦν περιφορᾷ γεγραμμένας καὶ τᾶς εὐθείας τᾶς κατὰ τὸν αὐτὸν ἀριθμὸν ταῖς περιφοραῖς λεγομένας ποτὶ τὸν κύκλον τὸν κατὰ τὸν αὐτὸν ἀριθμὸν λεγόμενον ταῖς περιφοραῖς λόγον ἔχει, ὃν συναμφότερον τό τε ὑπὸ τᾶς ἐκ τοῦ κέντρου τοῦ κατὰ τὸν αὐτὸν ἀριθμὸν κύκλου καὶ τᾶς ἐκ τοῦ κέντρου τοῦ κατὰ τὸν ἑνὶ ἐλάσσονα τᾶν περιφορᾶν λεγομένου καὶ τὸ τρίτον μέρος τοῦ τετραγώνου τοῦ ἀπὸ τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει ἁ ἐκ τοῦ κέντρου τοῦ μείζονος κύκλου τῶν εἰρημένων τᾶς ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου τῶν εἰρημένων ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ἐκ τοῦ κέντρου τοῦ μείζονος κύκλου τῶν εἰρημένων.

κϛʹ.

Τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ἕλικος, ἅ ἐστιν ἐλάσσων τᾶς ἐν μιᾷ περιφορᾷ γεγραμμένας, οὐκ ἐχούσας πέρας τὰν ἀρχὰν τᾶς ἕλικος καὶ τᾶν εὐθειᾶν τᾶν

est figura in spatio inscripta, alteris autem circulus; itaque circulus *AZHI* ad figuram inscriptam maiorem rationem habet quam

$$\Theta A^2 : \Theta A \times \Theta E + \tfrac{1}{3} AE^2,$$

h. e. quam *AZHI* : ϙ [p. 96, 20]. itaque circulus ϙ maior est figura inscripta [Eucl. V, 10]; quod fieri non potest; erat enim minor. itaque circulus ϙ ne minor quidem est spatio spirali *ABΓΔE* rectaque *AE* comprehenso; ergo aequalis est.

COROLLARIUM.

Eadem autem ratione demonstrabimus, etiam spatium comprehensum spirali qualibet circumactione descripta rectaque eodem numero nominata, quo circumactiones, ad circulum nominatum eodem numero, quo circumactiones, eam rationem habere, quam rectangulum comprehensum radio circuli eodem numero nominati radioque circuli numero uno minore, quam est numerus circumactionum, nominati simul cum tertia parte quadrati eius excessus, quo radius circuli maioris radium circuli minoris eorum, quos commemorauimus, excedit, ad quadratum radii circuli maioris eorum, quos commemorauimus.

XXVI.

Spatium comprehensum spirali, quae minor est spirali una circumactione descripta, et cuius terminus non est principium spiralis, rectisque a terminis eius ad principium spiralis ductis ad sectorem, cuius radius aequalis est maiori

---

2 *AZHI*] AB, *AHZI* C. 11 πόρισμα] om. ABC. 12 δειχθήσεται] in δειχθήσε- des. C. 13 χωρίον] in -ρίον inc. C. 16 κατὰ] scripsi, ποτι AC. 19 τοῦ (alt.)] A, τὸ (C). τὸν ἑνὶ] scripsi, τὸ μενι C, μεν ενι A. 16 κϛ'] B (euan.), om. C, κθ' A.


ἀπὸ τῶν περάτων αὐτᾶς ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἀγμενᾶν ποτὶ τὸν τομέα τὸν ἔχοντα τὰν μὲν ἐκ τοῦ κέντρου ἴσαν τᾷ μείζονι τᾶν ἀπὸ τῶν περάτων ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἀγμενᾶν, τὰν δὲ περιφέρειαν, ἅ ἐστι μεταξὺ τᾶν εἰρημενᾶν εὐθειᾶν ἐπὶ τὰ αὐτὰ τᾷ ἕλικι, τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει συναμφότερα τό τε περιεχόμενον ὑπὸ τᾶν ἀπὸ τῶν περάτων ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἀγμενᾶν καὶ τὸ τρίτον μέρος τοῦ τετραγώνου τοῦ ἀπὸ τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει ἁ μείζων τᾶν εἰρημενᾶν εὐθειᾶν τᾶς ἐλάσσονος, ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς μείζονος τᾶν ἀπὸ τῶν περάτων ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἐπιζευχθεισᾶν.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ ΑΒΓΔΕ, ἐλάσσων τᾶς ἐν μιᾷ περιφορᾷ γεγραμμένας, πέρατα δὲ αὐτᾶς ἔστω τὰ Α, Ε, ἔστω δὲ ἀρχὰ τᾶς ἕλικος τὸ Θ σαμεῖον, καὶ κέντρῳ μὲν τῷ Θ, διαστήματι δὲ τῷ ΘΑ, κύκλος γεγράφθω, καὶ συμπιπτέτω τᾷ περιφερείᾳ αὐτοῦ ἁ ΘΕ κατὰ τὸ Ζ. δεικτέον, ὅτι τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος καὶ τᾶν εὐθειᾶν τᾶν ΑΘ, ΘΕ ποτὶ τὸν τομέα τὸν ΑΘΖ τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει συναμφότερα τό τε ὑπὸ τᾶν ΑΘ, ΘΕ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΕΖ ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘΑ.

ἔστω δὴ κύκλος, ἐν ᾧ ϘΧ, τὰν ἐκ τοῦ κέντρου ἔχων ἴσαν δυνάμει τῷ τε ὑπὸ τᾶν ΑΘ, ΘΕ καὶ τῷ τρίτῳ μέρει τοῦ ἀπὸ τᾶς ΕΖ, ποτὶ δὲ τῷ κέντρῳ αὐτοῦ γωνία ἴσα τᾷ ποτὶ τῷ Θ· ὁ δὴ τομεὺς ὁ ϘΧ ποτὶ τὸν τομέα τὸν ΘΑΖ τὸν αὐτὸν ἔχει λόγον, ὃν ἔχει τὸ ὑπὸ τᾶν ΑΘ, ΘΕ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΕΖ τετραγώνου ποτὶ τὸ ἀπὸ τᾶς ΘΑ τετράγωνον· αἱ γὰρ ἐκ τῶν κέντρων τοῦτον ἔχοντι τὸν λόγον δυνάμει ποτ'


rectarum a terminis ad principium spiralis ductarum, arcus autem arcui inter rectas illas posito ad eandem partem uersus, in qua est spiralis, eam rationem habet, quam habet rectangulum rectis a terminis ad principium spiralis ductis comprehensum simul cum tertia parte quadrati eius excessus, quo maior rectarum, quas commemorauimus, minorem excedit, ad quadratum maioris rectarum a terminis ad principium spiralis ductarum.

sit spiralis, in qua sit $AB\Gamma\Delta E$, minor spirali una circumactione descripta, et termini eius sint A, E, principium autem spiralis sit Θ punctum, et describatur circulus, cuius centrum sit Θ, radius autem ΘA, et recta ΘE cum ambitu eius concurrat in puncto Z. demonstrandum, spatium spirali $AB\Gamma\Delta E$ rectisque $A\Theta$, ΘE comprehensum ad sectorem $A\Theta Z$ eam habere rationem, quam



$$A\Theta \times \Theta E + \tfrac{1}{3} EZ^2 : \Theta A^2.$$

sit igitur circulus, in quo sit $ϙX$, cuius radius quadratus aequalis sit $A\Theta \times \Theta E + \frac{1}{3} EZ^2$, et ad centrum eius angulus ponatur angulo ad Θ posito aequalis; itaque sector $ϙX$ ad sectorem ΘAZ eandem rationem habet, quam



$$A\Theta \times \Theta E + \tfrac{1}{3} EZ^2 : \Theta A^2;$$

3 τῶν περάτων] *Torellius*, του περατος ABC, seq. 1 litt. euan. C. 5 ᾶ ἐστι] *Basil.*, α εστι τᾳ AC; fort. scrib. ἴσαν τᾷ cum B. τᾶν] des. C. τᾷ] inc. C. 7 ὑπὸ] A, ἀπὸ C. 8 ἀγμενᾶν] A, ἀγομεναν C. 16 τῷ (pr.)] CG, e corr. E, το A. τῶ (alt.)] CEG, το A. 25 δυνάμει] A, δύναμιν C. 28 τομέα] des. C. ἔχει (alt.)] inc. C.

ἀλλάλας. δειχθήσεται δὴ ὁ ΧϚ τομεὺς ἴσος ἐὼν τῷ χωρίῳ τῷ περιεχομένῳ ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος καὶ τᾶν ΑΘ, ΘΕ εὐθειᾶν.

εἰ γὰρ μή, ἤτοι μείζων ἢ ἐλάττων ἐστίν. ἔστω πρότερον, εἰ δυνατόν, μείζων. δυνατὸν οὖν ἐστιν περὶ τὸ εἰρημένον χωρίον περιγράψαι σχῆμα ἐπίπεδον ἐξ ὁμοίων τομέων συγκείμενον, ὥστε τὸ περιγραφόμενον σχῆμα μεῖζον εἶμεν τοῦ εἰρημένου χωρίου ἐλάσσονι, ᾗ ἀλίκῳ ὑπερέχει ὁ ϚΧ τομεὺς τοῦ εἰρημένου χωρίου. περιγεγράφθω δή, καὶ ἔστω τῶν τομέων, ἐξ ὧν σύγκειται τὸ περιγεγραμμένον σχῆμα, μέγιστος μὲν ὁ ΘΑΚ, ἐλάχιστος δὲ ὁ ΘΟΔ· δῆλον οὖν, ὅτι τὸ περιγεγραμμένον σχῆμα ἔλασσόν ἐστιν τοῦ ΧϚ τομέως. διάχθωσαν δὴ αἱ εὐθεῖαι αἱ ποιοῦσαι τὰς ἴσας γωνίας ποτὶ τῷ Θ, ἔστ' ἂν ποτὶ τὰν περιφέρειαν τοῦ ΘΑΖ τομέως πεσῶντι. ἐντὶ δή τινες εὐθεῖαι τῷ ἴσῳ ἀλλαλᾶν ὑπερέχουσαι, αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν ἕλικα ποτιπίπτουσαι, ἆν ἐστι μεγίστα μὲν ἁ ΘΑ, ἐλαχίστα δὲ ἁ ΘΕ, ἐντὶ δὲ καὶ ἄλλαι εὐθεῖαι τῷ μὲν πλήθει μιᾷ ἐλάσσονες ταυτᾶν, τῷ δὲ μεγέθει ἴσαι ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ, αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν τοῦ ΑΘΖ τομέως περιφέρειαν ποτιπίπτουσαι χωρὶς τᾶς ΘΖ, καὶ ἀναγεγράφαται ὁμοίοι τομέες ἀπὸ πασᾶν ἀπό τε τᾶν ἰσᾶν ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ καὶ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν, ἀπὸ δὲ τᾶς ΘΕ οὐκ ἀναγέγραπται· τομέες οὖν οἱ ἀπὸ τᾶν ἰσᾶν ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ ποτὶ τοὺς τομέας τοὺς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς ἐλαχίστας τομέως ἐλάσσονα λόγον ἔχοντι ἢ τὸ ἀπὸ τᾶς ΘΑ ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΑΘ, ΘΕ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΕΖ τετραγώνου. ἔστιν δὲ

nam radii quadrati hanc inter se rationem habent.[1]) demonstrabimus igitur, sectorem Xϙ aequalem esse spatio spirali $AB\Gamma\varDelta E$ rectisque $A\Theta$, ΘE comprehenso.

nam si aequalis non est, aut maior est aut minor. prius, si fieri potest, maior sit. itaque fieri potest, ut circum spatium, quod commemorauimus, figura plana circumscribatur ex similibus sectoribus composita, ita ut figura circumscripta spatium illud excedat spatio minore, quam quanto sector ϙX spatium illud excedit [prop. 23 coroll.]. circumscribatur igitur, et sectorum, ex quibus figura circumscripta composita est, maximus sit ΘAK, minimus autem $\Theta O\varDelta$; adparet igitur, figuram circumscriptam minorem esse sectore ϙX [p. 89 not. 1]. iam rectae aequales angulos ad punctum Θ efficientes usque eo producantur, ut ad arcum sectoris ΘAZ perueniant. sunt igitur rectae quaedam aequali spatio inter se excedentes, quae a puncto Θ ad spiralem ductae sunt [prop. 12], quarum maxima est ΘA, minima autem ΘE, et aliae quoque rectae sunt numero una pauciores illis, magnitudine autem et inter se et maximae aequales, quae a puncto Θ ad arcum sectoris $A\Theta Z$ ductae sunt, praeter ΘZ, in omnibus uero rectis, et iis, quae inter se maximaeque aequales sunt, et iis, quae aequali spatio inter se excedunt, similes sectores constructi sunt, in ΘE autem nullus constructus est; sectores igitur in rectis et inter se et maximae aequalibus constructi ad sectores in rectis aequali spatio inter se excedentibus constructos praeter

---


1) Nam sectores similes, siue quorum anguli aequales sunt, eam rationem habent, quam circuli; tum u. Eucl. XII, 2. cfr. ZMP. XXIV p. 181 nr. 14.


---

4 ἐστίν] *Torellius*, om. ABC. ἔστω] C, εστω γαρ AB. 5 ἐστιν] C, εστι A. 8 μεῖζον εἶμεν] AB, μείζονι μὲν C. 11 μέγιστος] scripsi, μειζων ABC. 12 ἐλάχιστος] scripsi, ελασσων ABC. οὖν] AB, om. (C). 13 ἐστιν] C, εστι A. 14 δὴ αἱ] scripsi, δη AC. 15 τῷ] G, το AC. 19 τῷ μὲν] A, ἐν μὲν τῷ C. μιᾷ] des. C. ἐλάσσονες] *Torellius*, ελασσων A, ἐλάσσους G. 20 ἴσαι] inc. C. 30 τό τε] scripsi, τά τε ABC. 31 ἔστιν] A, ἔστι (C).

τοῖς μὲν τομέεσσιν τοῖς ἀπὸ τὰν ἰσᾶν ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ ἴσος ὁ ΘΑΖ τομεύς, τοῖς δὲ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν τὸ περιγεγραμμένον· ἐλάσσονα οὖν λόγον ἔχει ὁ ΘΑΖ τομεὺς ποτὶ τὸ περιγεγραμμένον σχῆμα ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘΑ ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΘΑ, ΘΕ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΖΕ. ὃν δὲ λόγον ἔχει τὸ ἀπὸ τᾶς ΘΑ ποτὶ τὰ εἰρημένα, τοῦτον τὸν λόγον ἔχει ὁ ΘΑΖ τομεὺς ποτὶ τὸν Χϙ τομέα· ὥστε ἐλάσσων ἐστὶν ὁ Χϙ τομεὺς τοῦ περιγεγραμμένου σχήματος. οὐκ ἔστι δέ, ἀλλὰ μείζων· οὐκ ἄρα ἐσσεῖται ὁ Χϙ τομεὺς μείζων τοῦ περιεχομένου χωρίου ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος καὶ τᾶν ΑΘ, ΘΕ· εὐθειᾶν.

οὐδὲ τοίνυν ἐλάσσων. ἔστω γὰρ ἐλάσσων, καὶ τὰ ἄλλα τὰ αὐτὰ κατεσκευάσθω. πάλιν δὴ δυνατόν ἐστιν εἰς τὸ χωρίον ἐγγράψαι σχῆμα ἐπίπεδον ἐξ ὁμοίων τομέων συγκείμενον, ὥστε τὸ εἰρημένον χωρίον μεῖζον εἶμεν τοῦ ἐγγραφέντος σχήματος ἐλάσσονι, ἢ ἁλίκῳ ὑπερέχει τὸ αὐτὸ χωρίον τοῦ Χϙ τομέως. ἐγγεγράφθω οὖν, καὶ ἔστω τῶν τομέων, ἐξ ὧν σύγκειται τὸ ἐγγεγραμμένον σχῆμα, μέγιστος μὲν ὁ ΘΒΓ, ἐλάχιστος δὲ ὁ ΟΘΕ· δῆλον οὖν, ὅτι τὸ ἐγγεγραμμένον σχῆμα μεῖζόν ἐστι τοῦ Χϙ τομέως. πάλιν οὖν ἐντί τινες γραμμαὶ τῷ ἴσῳ ἀλλαλᾶν ὑπερέχουσαι αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν ἕλικα ποτιπίπτουσαι, ἃν ἐστι μεγίστα μὲν ἁ ΘΑ, ἐλαχίστα





sectorem in minima constructum minorem rationem habent quam

$$\Theta A^2 : A\Theta \times \Theta E + \tfrac{1}{3} EZ^2 \text{ [prop. 11 coroll.]}.$$

sed sectoribus in rectis et inter se et maximae aequalibus constructis aequalis est sector ΘAZ, iis autem, qui in rectis aequali spatio inter se excedentibus constructi sunt, figura circumscripta; itaque sector ΘAZ ad figuram circumscriptam minorem rationem habet quam $\Theta A^2 : \Theta A \times \Theta E + \frac{1}{3} ZE^2$. est autem

$$\Theta A^2 : \Theta A \times \Theta E + \tfrac{1}{3} ZE^2 = \Theta AZ : X\text{ϙ};$$

quare sector Xϙ minor est figura circumscripta [Eucl. V, 10]. at minor non est, uerum maior; itaque sector Xϙ maior non erit spatio spirali $AB\Gamma\Delta E$ rectisque $A\Theta$, ΘE comprehenso.

sed ne minor quidem est. sit enim minor, et cetera eadem comparentur. rursus igitur fieri potest, ut in spatio inscribatur figura plana ex similibus sectoribus composita, ita ut spatium, quod commemorauimus, figuram inscriptam excedat spatio minore, quam quanto idem spatium sectorem Xϙ excedit [prop. 23 coroll.]. inscribatur igitur, et sectorum, ex quibus figura inscripta composita est, maximus sit $\Theta B\Gamma$, minimus autem $O\Theta E$; adparet igitur, figuram inscriptam maiorem esse sectore Xϙ [p. 91 not.]. rursus igitur rectae quaedam sunt aequali spatio inter se excedentes, quae a puncto Θ ad spiralem ductae sunt [prop. 12], quarum maxima est ΘA, minima autem ΘE, et aliae quoque rectae sunt,

---

6 *τό τε*] CG, *τῳ τε* A. 9 Xϙ] *Torellius*, X ABC. *ὥστε*] des. C. 10 Xϙ] *Torellius*, X AB. 11 Xϙ] AB, X (C). 14 *λ′* AC. 19 *μεῖζον εἶμεν*] AB, *μείζονι μὲν τὸ* C. 20 *ἐλάσσονι*] BCG, *ελασσον* A. 22 Xϙ] AB, X C. 25 *μέγιστος*] scripsi, *μειζων* A, *μεῖζον* CH. $\Theta B\Gamma$] AB(C), ΘBH *Torellius* littera Γ in fig. in H mutata additisque litteris Γ, Δ, E ut in fig. p. 103, cfr. p. 108, 18. 26 *ἐλάχιστος*] scripsi, *ελασσων* AB, *ἔλασσον* C. $O\Theta E$] *Basil.*, *toe* B, ΘE AC. 27 *ἐγγεγραμμένον*] BCGE, *γεγραμμενον* A. 28 Xϙ] scripsi, X ABC. 29 *αἱ*] *Torellius*, om. ABC.

δὲ ἁ $ΘΕ$, ἐντὶ δὲ καὶ ἄλλαι γραμμαὶ αἱ ἀπὸ τοῦ $Θ$ ποτὶ τὰν τοῦ $ΘΑΖ$ τομέως περιφέρειαν ποτιπίπτουσαι χωρὶς τᾶς $ΘΑ$ τῷ μὲν πλήθει μιᾷ ἐλάσσονες τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν, τῷ δὲ μεγέθει ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ ἴσαι, καὶ ἀναγεγράφαται ἀπὸ ἑκάστας ὁμοίοι τομέες, ἀπὸ δὲ τᾶς μεγίστας τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν οὐκ ἀναγέγραπται· οἱ τομέες οὖν οἱ ἀπὸ τᾶν ἰσᾶν ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ ποτὶ τοὺς τομέας τοὺς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλαλᾶν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας μείζονα λόγον ἔχοντι ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς $ΘΑ$ ποτὶ τὸ ὑπὸ τᾶν $ΘΑ$, $ΘΕ$ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς $ΕΖ$· ὥστε καὶ ὁ $ΘΑΖ$ τομεὺς ποτὶ τὸ ἐγγεγραμμένον σχῆμα μείζονα λόγον ἔχει ἤπερ ποτὶ τὸν $ΧϘ$ τομέα· ὥστε μείζων ὁ $ΧϘ$ τομεὺς τοῦ ἐγγεγραμμένου σχήματος. οὐκ ἔστι δέ, ἀλλὰ ἐλάσσων· οὐκ ἄρα ἐστὶν οὐδὲ ἐλάσσων ὁ $ΧϘ$ τομεὺς τοῦ περιεχομένου χωρίου ὑπό τε τᾶς $ΑΒΓΔΕ$ ἕλικος καὶ τᾶν $ΑΘ$, $ΘΕ$ εὐθειᾶν· ἴσος ἄρα.

κζʹ.

Τῶν χωρίων τῶν περιεχομένων ὑπό τε τᾶν ἑλίκων καὶ τᾶν εὐθειᾶν τᾶν ἐν τᾷ περιφορᾷ τὸ μὲν τρίτον τοῦ δευτέρου διπλάσιόν ἐστι, τὸ δὲ τέταρτον τριπλάσιον, τὸ δὲ πέμπτον τετραπλάσιον, καὶ ἀεὶ τὸ ἑπόμενον κατὰ τοὺς ἑξῆς ἀριθμοὺς πολλαπλάσιον τοῦ δευτέρου χωρίου, τὸ δὲ πρῶτον χωρίον ἕκτον μέρος ἐστὶ τοῦ δευτέρου.

ἔστω ἁ προκειμένα ἕλιξ ἔν τε τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα καὶ ἐν τᾷ δευτέρᾳ καὶ ἐν ταῖς ἑπομέναις ὁποσαισοῦν, ἔστω δὲ ἀρχὰ μὲν τᾶς ἕλικος τὸ $Θ$ σαμεῖον, ἁ δὲ $ΘΕ$ εὐθεῖα ἀρχὰ τᾶς περιφορᾶς, τῶν δὲ χωρίων

κείμενον· διαιρεθείσας τᾶς εὐθείας εἰς ἴσα πέντε ἐπὶ μέσου πεμπταμορίου, ὥστε τὸ τμᾶμα αὐτοῦ τὸ ἐγγύτερον τᾶς ἐλάσσονος βάσιος τοῦ τόμου ποτὶ τὸ λοιπὸν τμᾶμα τὸν αὐτὸν ἔχειν λόγον, ὃν ἔχει τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ τετράγωνον τὸ ἀπὸ τᾶς μείζονος τᾶν βασίων τοῦ τόμου, ὕψος δὲ τὰν ἴσαν συναμφοτέρᾳ τᾷ τε διπλασίᾳ τᾶς ἐλάσσονος τᾶν βασίων καὶ τᾷ μείζονι, ποτὶ τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ἐλάσσονος τᾶν βασίων τοῦ τόμου, ὕψος δὲ τὰν ἴσαν ἀμφοτέρᾳ τᾷ τε διπλασίᾳ τᾶς μείζονος καὶ τᾷ ἐλάσσονι αὐτᾶν.

ἔστωσαν ἐν ὀρθογωνίου κώνου τομᾷ δύο εὐθεῖαι αἱ *ΑΓ*, *ΔΕ*, διάμετρος δὲ ἔστω τοῦ *ΑΒΓ* τμάματος ἁ *ΒΖ*· φανερὸν δή, ὅτι καὶ τοῦ *ΑΔΕΓ* τόμου διάμετρός ἐστιν ἁ *ΗΖ* [καὶ αἱ μὲν *ΑΓ*, *ΔΕ* παραλλήλοι ἐντὶ τᾷ κατὰ τὸ *Β* ἐφαπτομένᾳ τᾶς τομᾶς]· καὶ τᾶς *ΗΖ* εὐθείας διαιρεθείσας εἰς πέντε ἴσα μέσον ἔστω πεμπταμόριον ἁ *ΘΚ*, ἁ δὲ *ΘΙ* ποτὶ τὰν *ΙΚ* τὸν αὐτὸν ἐχέτω λόγον, ὃν ἔχει τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ τᾶς *ΑΖ* τετράγωνον, ὕψος δὲ τὰν ἴσαν ἀμφοτέραις τᾷ τε διπλασίᾳ τᾶς *ΔΗ* καὶ τᾷ *ΑΖ*, ποτὶ τὸ στερεὸν τὸ βάσιν ἔχον τὸ ἀπὸ τᾶς *ΔΗ* τετράγωνον, ὕψος δὲ τὰν ἴσαν ἀμφοτέραις τᾷ διπλασίᾳ τᾶς *ΑΖ* καὶ τᾷ *ΔΗ*. δεικτέον, ὅτι τοῦ *ΑΔΕΓ* τόμου κέντρον ἐστὶ τοῦ βάρεος τὸ *Ι* σαμεῖον.

---

5 *ἀπὸ*] AC, a medietate 𝔅, *ἀπὸ ἡμίσους Basil.* **7** *τᾷ* (alt.)] C, *τῷ* EG, *τὸ* D. **9** *ἀπὸ*] A𝔅C, *ἀπὸ ἡμίσους Basil.* **10** *ἀμφοτέρᾳ*] G, *αμφοτερας* AC, *αμφοτεραις Torellius* (𝔅). **12** *ἐν*] 𝔅, om. A(C). **14** *δή*] C, *Eutocius*; *δε* A𝔅. *ΑΔΕΓ* — **15** *ΗΖ*] 𝔅, *Eutocius*; om. A(C). **15** *ΗΖ*] 𝔅, Ζ*Η Eutocius*. *καὶ αἱ μὲν*] *Basil.*, et quae quidem 𝔅, om. A(C); fort. *ἐπεὶ αἱ*. **16** *τᾷ*] A(C), om. 𝔅. *ἐφαπτομένᾳ*] A(C), attingentes 𝔅. **17**

tum est: recta in quinque partes aequales diuisa in media quinta parte ita positum, ut pars eius minori basi propior ad reliquam partem eandem rationem habeat, quam magnitudo solida basim habens quadratum maioris basis frusti, altitudinem autem rectam aequalem simul duplici basi minori et maiori basi, ad magnitudinem solidam basim habentem quadratum basis minoris frusti, altitudinem autem rectam aequalem simul duplici basi maiori et minori earum.

in sectione coni rectanguli duae rectae ⟨parallelae⟩[1]) sint $A\Gamma$, ΔE, et segmenti $AB\Gamma$ diametrus sit BZ; adparet igitur, etiam frusti $A\Delta E\Gamma$ diametrum esse HZ;[2]) et recta HZ in quinque partes aequales diuisa media pars quinta sit ΘK, sit autem

$$\Theta I : IK = AZ^2 \times (2\,\Delta H + AZ) : \Delta H^2 \times (2\,AZ + \Delta H).^{3})$$

demonstrandum, frusti $A\Delta E\Gamma$ centrum grauitatis esse punctum I.

---

1) Post εὐθεῖαι lin. 12 Archimedes uix omiserat παράλληλοι. praeterea ex Eutocio concludi posse uidetur, eum hoc quoque addidisse, esse $\Delta H = HE$ et $AZ = Z\Gamma$.

2) Quoniam (not. 1) $\Delta H = HE$ et $AZ = Z\Gamma$, u. Quadr. parab. 1, b. ceterum uerba καὶ αἱ lin. 15 ad τᾶς τομᾶς lin. 16 uix genuina sunt, nec ea habuisse uidetur Eutocius.

3) In ipsa propositione lin. 5 sqq. hanc proportionem significat:

$$A\Gamma^2 \times (2\,\Delta E + A\Gamma) : \Delta E^2 \times (2\,A\Gamma + \Delta E);$$

sed cum $A\Gamma = 2\,AZ$, $\Delta E = 2\,\Delta H$, erit

$$A\Gamma^2 \times (2\,\Delta E + A\Gamma) : \Delta E^2 \times (2\,A\Gamma + \Delta E)$$
$$= 4\,AZ^2 \times (4\,\Delta H + 2\,AZ) : 4\,\Delta H^2 \times (4\,AZ + 2\,\Delta H)$$
$$= AZ^2 \times (2\,\Delta H + AZ) : \Delta H^2 \times (2\,AZ + \Delta H).$$

HZ] 𝕭, EZ A(C). 20 AZ] 𝕭G², ΛZ A(C). τετράγωνον] 𝕭GH, τετραγωνων A(C). 21 ΔH] 𝕭G², ZH AC. 24 $A\Delta E\Gamma$] C, $A\Delta\Gamma$ A, *agde* 𝕭.

ἔστω δὴ τᾷ μὲν ZB ἴσα ἁ MN, τᾷ δὲ HB ἴσα ἁ NO, καὶ λελάφθω τᾶν μὲν MNO μέσα ἀνάλογον ἁ NΞ, τετάρτα δὲ ἀνάλογον ἁ TN, καὶ ὡς ἁ TM ποτὶ TN, οὕτως ἁ ZΘ ποτί τινα ἀπὸ τοῦ I, ὅπου ἂν ἔρχηται τὸ ἕτερον σαμεῖον· οὐδὲν γὰρ διαφέρει, εἴτε καὶ μεταξὺ τῶν Z, H εἴτε καὶ μεταξὺ τῶν H, B· τὰν IP. καὶ ἐπεὶ ἐν ὀρθογωνίου κώνου τομᾷ διάμετρός ἐστι τοῦ τμάματος ἁ ZB, ἁ BZ ἤτοι ἀρχικά ἐστι τᾶς τομᾶς ἢ παρὰ τὰν διάμετρον ἄκται, αἱ δὲ AZ, ΔH εἰς αὐτὰν τεταγμένως ἐντὶ καταγμέναι, ἐπειδὴ παραλλήλοι ἐντὶ τᾷ ἐπὶ τοῦ B τᾶς τομᾶς ἐφαπτομένᾳ. εἰ δὲ τοῦτο, ἔστιν, ὡς ἁ AZ ποτὶ ΔH δυνάμει, οὕτως ἁ ZB ποτὶ BH μάκει, τουτέστιν ἁ MN ποτὶ NO. ὡς δὲ ἁ MN ποτὶ NO μάκει, οὕτως ἁ MN ποτὶ NΞ δυνάμει· καὶ ὡς ἄρα ἁ AZ ποτὶ ΔH δυνάμει, οὕτως ἁ MN ποτὶ NΞ δυνάμει· ὥστε καὶ μάκει ἐν τῷ αὐτῷ λόγῳ. καὶ ὡς ἄρα ὁ ἀπὸ AZ κύβος ποτὶ τὸν ἀπὸ ΔH κύβον, οὕτως ὁ ἀπὸ MN κύβος ποτὶ τὸν ἀπὸ NΞ κύβον. ἀλλ' ὡς μὲν ὁ ἀπὸ AZ κύβος ποτὶ τὸν ἀπὸ ΔH κύβον, οὕτως τὸ ABΓ τμᾶμα ποτὶ τὸ ΔBE τμᾶμα, ὡς δὲ ὁ

---

1 ZB] 𝔅C, ZE A. 2 NO] *Basil.*, *ον* 𝔅, NΘ A(C). MNO] 𝔅, MNΘ AC. NΞ] C, MΞ A𝔅. 4 ἂν] *Basil.*, *εαν* A𝔅. 5 ἕτερον] 𝔅C, *στερεον* A. καὶ] AC, om. 𝔅. 6 Z — τῶν] A𝔅, om. C. 7 κώνου] A𝔅, κωνίου C. 8 ἁ ZB, ἁ BZ] A𝔅, $\overline{\alpha\zeta}$ $\overline{\beta\eta}$ $\overline{\beta\zeta}$ C. ἀρχικά] ἀρχική CGH, e corr. E, *αρχηκη* A, mg. 𝔅. ἐστι] A, ἐστιν C. 10 ἐντὶ] *εισι* A, εἰσὶν C. καταγμέναι] A𝔅, κατηγμένη C. 11 ἐντὶ] *εισιν* A, εἰσὶ C, om. 𝔅. ἐπὶ] scripsi, *απο* A𝔅C. ἐφαπτομένᾳ] GH, ἐφαπτομένη C, *εφαπτομεναι* A𝔅. 13 MN] A𝔅, MΔ (C). ποτὶ NO — 14 MN] 𝔅C, om. A. 13 NO] 𝔅, NΘ C. δὲ] 𝔅, om. (C). 16 λόγῳ] AC, proportione sunt 𝔅. 19 ἀλλ' — p. 208, 1 κύβον] A𝔅, bis C. 19 κύβον] A𝔅, alt. loc. C, om. pr. loc. C. 20 τὸ (pr.)] A, alt. loc. C, om. pr. loc. C. ABΓ] 𝔅, pr. loc. C, BAΓ A, AB ΓA alt. loc. C.

sit igitur $MN = ZB$, $NO = HB$, et fiat


$$MN : N\Xi = N\Xi : NO,$$

$$MN : NO = N\Xi : TN, \quad TM : TN = Z\Theta : IP$$

sumpta a puncto I recta aliqua IP, quocunque alterum punctum cadit; nam nihil interest, utrum inter Z, H an inter H, B cadat. et quoniam in sectione coni rectanguli diametrus segmenti est ZB, aut axis est sectionis aut diametro parallela,[1]) et rectae AZ, ΔH ordinate[2]) ad eam ductae sunt, quoniam rectae in B sectionem contingenti parallelae sunt. quod si ita est, erit

$$AZ^2 : \Delta H^2 = ZB : BH,^{3})$$

h. e. $MN : NO$. uerum $MN : NO = MN^2 : N\Xi^2$;[4]) itaque



$AZ^2 : \Delta H^2 = MN^2 : N\Xi^2$; quare etiam $AZ : \Delta H = MN : N\Xi$. itaque etiam $AZ^3 : \Delta H^3 = MN^3 : N\Xi^3$. sed

$$AZ^3 : \Delta H^3 = AB\Gamma : \Delta BE \text{ [u. Eutocius]},$$

1) U. ZMP. XXV p. 51 nr. 14. ἀρχικά est axis siue, ut apud Archimedem uocatur, διάμετρος τᾶς τομᾶς; idem per διάμετρον lin. 9 significatur.

2) Cfr. Apollon. Con. I def. 4.

3) Quadr. parab. 3; Apollon. Con. I, 20. ZMP. XXV p. 50 nr. 12.

4) Eucl. V def. 9; nam

$$MN : N\Xi = N\Xi : NO.$$

ἀπὸ MN κύβος ποτὶ τὸν ἀπὸ NΞ κύβον, οὕτως ἁ MN ποτὶ NT· ὥστε καὶ διελόντι ἐστίν, ὡς ὁ AΔEΓ τόμος ποτὶ τὸ ΔBE τμᾶμα, οὕτως ἁ MT ποτὶ NT, τουτέστι τὰ γ̄ ε′ τᾶς HZ ποτὶ IP. καὶ ἐπεὶ τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ AZ τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ΔH καὶ τᾶς AZ, ποτὶ τὸν ἀπὸ AZ κύβον λόγον ἔχει, ὃν ἁ διπλασία τᾶς ΔH μετὰ τᾶς AZ ποτὶ ZA, ὥστε καί, ὃν ἁ διπλασία τᾶς NΞ μετὰ τᾶς NM ποτὶ NM, ἔστι δὲ καί, ὡς ὁ ἀπὸ AZ κύβος ποτὶ τὸν ἀπὸ ΔH κύβον, οὕτως ἁ MN ποτὶ NT, ὡς δὲ ὁ ἀπὸ ΔH κύβος ποτὶ τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ ΔH τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς AZ μετὰ τᾶς ΔH, οὕτως ἁ ΔH ποτὶ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς AZ καὶ τᾶς ΔH, ὥστε καὶ ἁ TN ποτὶ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ON καὶ τᾶς TN, γέγονεν οὖν τέσσαρα μεγέθεα, τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ AZ τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ΔH καὶ τᾶς AZ, καὶ ὁ ἀπὸ AZ κύβος καὶ ὁ ἀπὸ ΔH κύβος καὶ τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ ΔH τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς AZ καὶ τᾶς ΔH, τέτταρσι μεγέθεσιν ἀνάλογον σύνδυο λαμβανομένοις, τᾷ τε συγκειμένᾳ ἔκ τε τᾶς διπλασίας τᾶς NΞ καὶ τᾶς NM καὶ ἑτέρῳ μεγέθει τᾷ MN καὶ

---

1 *NΞ κύβον*] A𝔅, pr. loc. C, *ΔH κύβος* alt. loc. C. **2** *AΔEΓ*] C, *AΔΓE* A𝔅. *τόμος*] C, *τομευς* A. **3** *ποτὶ* (pr.)] des. C. *ΔBE*] *Basil.*, *ΔB* A𝔅. *τουτέστι*] inc. C. **4** *γ̄ ε′*] *γ̄ε* AC; lac. 𝔅, mg. *τα Γ*, in alio *τα Γ̄Θ̄*. *IP*] *Torellius*, *NT* A𝔅, *TN* C. *ἐπεὶ*] A𝔅, *ἐπὶ* C. **5** *ἀπὸ*] AC, *ἀπὸ τῆς* *Eutocius*. **8** *ZA*] AC, *az* 𝔅. *ὃν*] *Torellius*, om. A𝔅C. **10** *ΔH*] 𝔅C, *ΔN* A. **11** *δὲ ὁ*] A𝔅, *τε* C. **13** *ἔκ*] A𝔅, post 1 litt. euan. (C),

et $MN^3 : N\Xi^3 = MN : NT$;[1]) quare etiam dirimendo [Eucl. V, 17]

$$A\Delta E\Gamma : \Delta BE = MT : NT = \tfrac{3}{5}\, HZ : IP.^{2)}$$

et quoniam

$$AZ^2 \times (2\,\Delta H + AZ) : AZ^3 = 2\,\Delta H + AZ : AZ$$
$$= 2\,N\Xi + NM : NM,^{3)}$$

et $$AZ^3 : \Delta H^3 = MN : NT \text{ [p. 206, 16—20]},$$

et $$\Delta H^3 : \Delta H^2 \times (2\,AZ + \Delta H) = \Delta H : 2\,AZ + \Delta H$$
$$= TN : 2\,ON + TN,^{4)}$$

quattuor[5]) magnitudines sunt, magnitudo solida basim habens AZ^2, altitudinem autem $2\,\Delta H + AZ$, AZ^3, ΔH^3, magnitudo solida basim habens ΔH^2, altitudinem autem $2\,AZ + \Delta H$, cum quattuor magnitudinibus proportionales binis simul sumptis, $2\,N\Xi + NM$, MN, NT, $2\,NO + NT$;[6]) itaque ex aequo [Eucl. V, 22] erit

---

1) Nam $MN : NO = MN^2 : N\Xi^2 = N\Xi : TN$
et $MN : N\Xi = MN : N\Xi$;
tum multiplicando.

2) Nam $MT : NT = Z\Theta : IP$ (ex hypothesi) et $Z\Theta = \frac{3}{5}\, HZ$.

3) Nam $AZ : \Delta H = MN : N\Xi$; tum u. Quaest. Arch. p. 48.

4) Nam $AZ : \Delta H = MN : N\Xi = NO : TN$ (ex hypothesi, Eucl. V, 16); tum u. Quaest. Arch. p. 48.

5) Hinc paraphrasim dedit Eutocius Archimedis uerbis sua admiscens; quare ab eo iam nihil ad Archimedis uerba emendanda petendum est.

6) H. e.

$$AZ^2 \times (2\,\Delta H + AZ) : AZ^3 : \Delta H^3 : \Delta H^2 \times (2\,AZ + \Delta H)$$
$$= 2\,N\Xi + NM : MN : NT : 2\,NO + NT.$$

εὐθεῖαν ἔκ Eutocius. *διπλασίας τᾶς*] 𝔅, $\bar{\beta}$ *τῆς* C (ut saepe), *της* A, om. EG. *μετὰ*] A𝔅C, *καὶ Eutocius.* **15** *διπλασίας τᾶς*] $\bar{\beta}$ *τῆς* C, *τας* A, om. 𝔅EG. **16** *διπλασίας τᾶς*] AC; om. 𝔅, mg. in alio ex dupla linee *on.* **19** *διπλασίας*] C, *διπλας* A. **20** *καὶ* (pr.)—*AZ*] 𝔅, om. AC. **22** *διπλασίας*] 𝔅C, *διπλασιας και* A. **23** *τέτταρσι*] A, *τέταρσι* C. **25** *ἑτέρῳ μεγέθει*] 𝔅, *ἑτέρου μεγέθεος* C, *του ετερου μεγεθεος* A. *τᾷ*] C, *της* A.

ἄλλῳ ἑξῆς τᾷ ΝΤ καὶ τελευταῖον τᾷ συγκειμένᾳ ἔκ τε τᾶς διπλασίας τᾶς ΝΟ καὶ τᾶς ΝΤ· δι' ἴσου ἄρα γενήσεται, ὡς τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ ΑΖ τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ΔΗ καὶ τᾶς ΑΖ, ποτὶ τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ ΔΗ τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ΑΖ καὶ τᾶς ΔΗ, οὕτως ἁ συγκειμένα ἔκ τε τᾶς διπλασίας τᾶς ΝΞ καὶ τᾶς ΜΝ ποτὶ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ΝΟ καὶ τᾶς ΝΤ. ἀλλ' ὡς τὸ εἰρημένον στερεὸν ποτὶ τὸ εἰρημένον στερεόν, οὕτως ἁ ΘΙ ποτὶ ΙΚ· καὶ ὡς ἄρα ἁ ΘΙ ποτὶ ΙΚ, οὕτως ἁ συγκειμένα ποτὶ τὰν συγκειμέναν. ὥστε καὶ συνθέντι καὶ τῶν ἀγουμένων τὰ πενταπλάσια· ἔστιν ἄρα, ὡς ἁ ΖΗ ποτὶ ΙΚ, οὕτως ἁ πενταπλασία συναμφοτέρου τᾶς ΜΝΤ καὶ δεκαπλασία συναμφοτέρου τᾶς ΝΞ, ΝΟ ποτὶ τὰν διπλασίαν τᾶς ΟΝ καὶ τὰν ΝΤ. καὶ ὡς ἁ ΖΗ ποτὶ ΖΚ ἐοῦσαν αὐτᾶς δύο πέμπτα, οὕτως ἁ πενταπλασία συναμφοτέρου τᾶς ΜΝΤ καὶ δεκαπλασία συναμφοτέρου τᾶς ΞΝΟ ποτὶ τὰν διπλασίαν συναμφοτέρου τᾶς ΜΝΤ καὶ τετραπλασίαν συναμφοτέρου τᾶς ΞΝΟ· ἐσσεῖται οὖν, ὡς ἁ ΖΗ ποτὶ ΖΙ, οὕτως ἁ πενταπλασία συναμφοτέρου τᾶς ΜΝΤ καὶ δεκαπλασία συναμφοτέρου τᾶς ΞΝΟ ποτὶ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ΜΝ καὶ τετραπλασίας τᾶς ΝΞ καὶ ἑξαπλασίας τᾶς ΟΝ καὶ τριπλασίας τᾶς ΝΤ. ἐπεὶ οὖν τέσσαρες εὐθεῖαι ἑξῆς ἀνάλογον αἱ ΜΝ, ΝΞ, ΟΝ, ΝΤ, καί ἐστιν, ὡς μὲν ἁ ΝΤ ποτὶ ΤΜ, οὕτως λελαμμένα τις ἁ ΡΙ ποτὶ τὰ τρία πέμπτα τᾶς ΖΗ, τουτέστι τᾶς ΜΟ, ὡς δὲ ἁ συγκειμένα ἔκ τε τᾶς διπλασίας τᾶς ΝΜ καὶ τετραπλασίας τᾶς ΝΞ καὶ ἑξαπλασίας τᾶς ΝΟ καὶ τρι-

$$AZ^2 \times (2\,\varDelta H + AZ) : \varDelta H^2 \times (2\,AZ + \varDelta H)$$
$$= 2\,N\Xi + MN : 2\,NO + NT.$$

sed

$$AZ^2 \times (2\,\varDelta H + AZ) : \varDelta H^2 \times (2\,AZ + \varDelta H) = \Theta I : IK;$$

quare etiam $2\,N\Xi + MN : 2\,NO + NT = \Theta I : IK$. itaque etiam componendo [Eucl. V, 18] et antecedentibus quinquies sumptis

$$ZH : IK = 5(MN + NT) + 10(N\Xi + NO) : 2\,ON + NT.$$[1]

et $$ZH : ZK = 5\,(MN + NT) + 10\,(N\Xi + NO)$$
$$: 2\,(MN + NT) + 4\,(N\Xi + NO),$$

quia $ZK = \frac{2}{5}\,ZH$;[2] quare etiam [Eucl. V, 7 coroll.; V, 24]

$$ZH : ZI = 5\,(MN + NT) + 10\,(\Xi N + NO)$$
$$: 2\,MN + 4\,N\Xi + 6\,ON + 3\,NT.$$

iam quoniam quattuor rectae in continua proportione sunt, MN, $N\Xi$, ON, NT [ex hypothesi], et

$$NT : TM = PI : \tfrac{3}{5}\,ZH = PI : \tfrac{3}{5}\,MO,$$[3]

et $$2\,NM + 4\,N\Xi + 6\,NO + 3\,NT : 5(MN + NT)$$
$$+ 10\,(\Xi N + NO) = IZ : ZH = IZ : MO,$$

---

1) Nam $ZH = 5\,\Theta K$.

2) Et
$$5\,(MN + NT) + 10\,(N\Xi + NO) : 2\,(MN + NT) + 4\,(N\Xi + NO)$$
$$= 5 : 2 \text{ (Eucl. VI, 16).}$$

3) Nam $MO = MN \div NO = ZB \div HB = ZH$.

---

1 ἄλλῳ] (𝔅) scripsi, αλλο AC. τᾷ] η AC. NT] 𝔅, $N\Gamma$ AC. τᾷ συγκειμένᾳ] *Torellius*, η συγκειμενη AC. 2 διπλασίας] 𝔅, β′H DG, $\overline{BH}$ CEH. 4 τετράγωνον] A𝔅, τετράγωνος C. 7 τᾶς AZ — 8 διπλασίας] C, om. A𝔅; ad ἔκ τε lin. 7 — ποτὶ lin. 9 adscr. va-cat 𝔅, mg. vacat ſ aliud exemplar. 12 καὶ — IK] A𝔅, om. C. 14 πενταπλάσια] $\bar{\varepsilon}$ AC, sequentia 𝔅. 15 πενταπλασία] 𝔅, $\bar{\varepsilon}$ C, om. A. 17 τὰν] *Basil.*, om. A𝔅C. ἁ] om. 𝔅. 20 ΞNO] *Torellius*, $N\Xi O$ A𝔅C. 21 ΞNO] C, $N\Xi O$ A𝔅. 22 ἁ (pr.)] ἡ C, om. A𝔅. 24 ΞNO] 𝔅C, ΞNC A. 25 τᾶς (alt.)] της AC, om. 𝔅. 27 αἱ] AC; εἰσιν αἱ *Eutocius*, 𝔅. MN, $N\Xi$, ON, NT] scripsi, $MN\Xi\,ONT$ A𝔅C. 31 NO] 𝔅, $N\Theta$ AC.

πλασίας τᾶς ΝΤ ποτὶ τὰν συγκειμέναν ἔκ τε τᾶς πενταπλασίας συναμφοτέρου τᾶς ΜΝΤ καὶ δεκαπλασίας συναμφοτέρου τᾶς ΞΝΟ, οὕτως ἑτέρα τις λελαμμένα ἁ ΙΖ ποτὶ τὰν ΖΗ, τουτέστιν ποτὶ τὰν ΜΟ, ἐσσεῖται διὰ τὰ πρότερον ἁ ΡΖ δύο πέμπτα τᾶς ΜΝ, τουτέστι τᾶς ΖΒ· ὥστε κέντρον βάρεός ἐστι τοῦ ΑΒΓ τμάματος τὸ Ρ σαμεῖον. ἔστω δὴ καὶ τοῦ ΔΒΕ τμάματος κέντρον βάρεος τὸ Χ σαμεῖον. τοῦ ἄρα ΑΔΕΓ τόμου ἐσσεῖται τὸ κέντρον τοῦ βάρεος ἐπὶ τᾶς ἐπ' εὐθείας τᾷ ΧΡ τὸν αὐτὸν ποτὶ αὐτὰν λόγον ἐχούσας, ὃν ἔχει ὁ τόμος ποτὶ τὸ λοιπὸν τμᾶμα. ἔστιν δὲ τὸ Ι σαμεῖον. ἐπεὶ γὰρ τᾶς μὲν ΖΒ τρία πέμπτα ἐστὶν ἁ ΒΡ, τᾶς δὲ ΗΒ τρία πέμπτα ἐστὶν ἁ ΒΧ, καὶ λοιπᾶς ἄρα τᾶς ΗΖ τρία πέμπτα ἐστὶν ἁ ΧΡ. ἐπεὶ οὖν ἐστιν, ὡς μὲν ὁ ΑΔΕΓ τόμος ποτὶ τὸ ΔΒΕ τμᾶμα, οὕτως ἁ ΜΤ ποτὶ ΤΝ, ὡς δὲ ἁ ΜΤ ποτὶ τὰν ΤΝ, οὕτως τὰ τρία πέμπτα τᾶς ΗΖ, ἅτις ἐστὶν ἁ ΧΡ, ποτὶ ΡΙ, ἐσσεῖται ἄρα καί, ὡς ὁ ΑΔΕΓ τόμος ποτὶ τὸ ΔΒΕ τμᾶμα, οὕτως ἁ ΧΡ ποτὶ ΡΙ. καί ἐστι τοῦ μὲν ὅλου τμάματος κέντρον τοῦ βάρεος τὸ Ρ σαμεῖον, τοῦ δὲ ΔΒΕ κέντρον βάρεος τὸ Χ· φανερὸν οὖν, ὅτι καὶ τοῦ ΑΔΕΓ τόμου τὸ κέντρον τοῦ βάρεος τὸ Ι σαμεῖον.

erit propter praecedentia [prop. 9]

$$PZ = \frac{2}{5} MN = \frac{2}{5} ZB;$$

quare punctum P centrum grauitatis est segmenti $AB\Gamma$ [prop. 8]. sit autem segmenti ΔBE centrum grauitatis punctum X. itaque frusti $A\Delta E\Gamma$ centrum grauitatis in recta XP producta positum erit abscisa recta ad XP eandem rationem habenti, quam habet frustum ad reliquum segmentum [I, 8]. eiusmodi autem est punctum I. nam quoniam $BP = \frac{3}{5} ZB$ et $BX = \frac{3}{5} HB$, erit etiam $XP = \frac{3}{5} HZ$ [Eucl. I κοιν. ἔνν. 3]. iam quoniam est

$$A\Delta E\Gamma : \Delta BE = MT : TN \text{ [p. 208, 2]},$$

et $MT : TN = \frac{3}{5} HZ : PI = XP : PI$, erit etiam

$$A\Delta E\Gamma : \Delta BE = XP : PI.$$

et totius segmenti centrum grauitatis est P, segmenti autem ΔBE centrum grauitatis punctum X; ergo adparet, frusti $A\Delta E\Gamma$ centrum grauitatis esse punctum I.[1])

1) I, 6—7 (Eutocius). poterat etiam ex I, 8 concludi; u. p. 183 not. 2.

3 *συναμφοτέρον*] in *συναμ-* des. C. *λελαμμένα*] inc. C. 4 *τουτέστιν*] A, *τουτέστι* C. 8 *ἄρα*] *Torellius*, om. A𝔅C. 10 *τᾷ*] scripsi, *της* A𝔅C. 11 *τόμος*] scripsi, *τομευς* A𝔅C. *ἔστιν*] A, *ἔστι* C. *τὸ* (alt.)] corr. ex *τω* in scrib. C. 15 *τόμος*] scripsi, *τομευς* A𝔅C. 16 TN (pr.)] C, NT A𝔅. 17 HZ] 𝔅C, NZ A. 18 *τόμος*] scripsi, *τομευς* A𝔅C. 19 PI — 20 *κέντρον* (pr.)] 𝔅, om. AC. 21 $A\Delta E\Gamma$] 𝔅, $ABE\Gamma$ AC. 22 *τόμου*] scripsi, *τομεως* A𝔅C. *τὸ I σαμεῖον*] AC, est signum *i* 𝔅. In fine: *Ἀρχιμήδους ἰσορροπικῶν* G, explicit liber Archimedis de centris grauium uel de planis aequerepentibus 𝔅.

ARENARIUS.

Ψαμμίτης.

1 I. Οἴονταί τινες, βασιλεῦ Γέλων, τοῦ ψάμμου τὸν ἀριθμὸν ἄπειρον εἶμεν τῷ πλήθει· λέγω δὲ οὐ μόνον τοῦ περὶ Συρακούσας τε καὶ τὰν ἄλλαν Σικελίαν ὑπάρχοντος, ἀλλὰ καὶ τοῦ κατὰ πᾶσαν χώραν τάν τε οἰκημέναν καὶ τὰν ἀοίκητον. ἐντί τινες δέ, οἳ αὐτὸν ἄπειρον μὲν εἶμεν οὐχ ὑπολαμβάνοντι, μηδένα μέντοι ταλικοῦτον κατωνομασμένον ὑπάρχειν ἀριθμόν, ὅστις ὑπερ-
2 βάλλει τὸ πλῆθος αὐτοῦ. οἱ δὲ οὕτως δοξάζοντες δῆλον ὡς, εἰ νοήσαιεν ἐκ τοῦ ψάμμου ταλικοῦτον ὄγκον συγκείμενον τὸ μέγεθος, ἁλίκος ὁ τᾶς γᾶς ὄγκος ἀναπεπληρωμένων ἐν αὐτῷ τῶν τε πελάγεων πάντων καὶ τῶν κοιλωμάτων τᾶς γᾶς εἰς ἴσον ὕψος τοῖς ὑψηλοτάτοις τῶν ὀρέων, πολλαπλασίως μὴ γνώσονται μηδένα κα
3 ῥηθῆμεν ἀριθμὸν ὑπερβάλλοντα τὸ πλῆθος αὐτοῦ. ἐγὼ δὲ πειρασοῦμαί τοι δεικνύειν δι' ἀποδειξίων γεωμετρικᾶν, αἷς παρακολουθήσεις, ὅτι τῶν ὑφ' ἁμῶν κατωνομασμένων ἀριθμῶν καὶ ἐκδεδομένων ἐν τοῖς ποτὶ Ζεύξιππον γεγραμμένοις ὑπερβάλλοντί τινες οὐ μόνον τὸν ἀριθμὸν τοῦ ψάμμου τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ γᾷ πεπληρωμένᾳ, καθάπερ εἴπαμες, ἀλλὰ καὶ τὸν τοῦ

In hoc opusculo deficiunt B C; B f. 57v mg. inf.: ultra hec grece reperitur ψαμμίτης et Eutocii commentarius in circuli mensurationem.

1 Ἀρχιμηδους ψαμμιτης A. 3 ἀριθμὸν] D², om. A. 4 τοῦ] *Basil.*, τον A. 6 ἐντί] *Riualtus*, εν A. οἵ] *Riualtus*,

Arenarius.

I. Sunt, qui existiment, rex Gelo, numerum arenae infi- 1
nitum esse magnitudine;[1] dico autem, non solum eius, quae
circa Syracusas et reliquam Siciliam est, sed etiam quae in
qualibet regione siue culta siue inculta. alii autem infinitum
eum esse non arbitrantur, nullum uero numerum tantum de-
nominatum esse, ut multitudinem eius superet. quod qui pu- 2
tent, adparet, si globum ex arena collectum esse tantae magni-
tudinis fingant, quantus globus terrae sit expletis et mari-
bus omnibus et cauis terrae locis ad altitudinem aequantem
montes altissimos, multo minus eos intellecturos esse, nomi-
nari posse numerum multitudinem eius superantem. ego 3
uero tibi demonstrare conabor demonstrationibus geome-
tricis, quas cogitatione adsequi poteris, numerorum a nobis
denominatorum et in libro, quem ad Zeuxippum misimus,
propositorum quosdam superare non modo numerum arenae
magnitudinem habentis aequalem terrae ita expletae, uti
diximus, sed etiam numerum arenae magnitudinem habentis

---

1) Hoc tritum prouerbium erat Graecis (Pindarus Ol. II, 98).

---

om. A. 7 *μὲν εἴμεν*] *Torellius*, *ηενιμεν* A. *ὑπολαμβάνοντι*] EG, *υπολαμβανωντι* A. 8 *ἀριθμόν*] addidi, om. A. 11 *τὸ μέγεθος*] scripsi, *τα μεν* A, *τὰ μὲν ἄλλα* *Gertz.* *ἁλίκος*] *Wallis*, *αλικαν* A. *τᾶς*] *Wallis*, *πας* A. *γᾶς*] *Wallis*, *γαρ* A. 12 *ἐν*] A, *δὲ ἐν* *Gertz.* 13 *εἰς*] addidi, om. A. *ὑψηλοτάτοις*] GH, *υψηλωτατοις* A. 14 *ὀρέων*] EG, *ωρεων* A. *μὴ γνώσονται*] scripsi, *μηγουσιν τε* A. *μηδένα κα ῥηθῆμεν ἀριθμὸν*] scripsi, *μηδενα καρη εμμεναι* A. 16 *τοι*] *Hultsch*, *Gertz*; *του* A. 17 *κατωνομασμένων*] EG, *κατονομασμενων* A. 18 *ἐκδεδομένων*] *Wallis*, *ενδεδομενον* A, *ἐνδεδομένων* EG.

4 μέγεθος ἴσον ἔχοντος τῷ κόσμῳ. κατέχεις δέ, διότι καλεῖται κόσμος ὑπὸ μὲν τῶν πλείστων ἀστρολόγων ἁ σφαῖρα, ἇς ἐστι κέντρον μὲν τὸ τᾶς γᾶς κέντρον, ἁ δὲ ἐκ τοῦ κέντρου ἴσα τᾷ εὐθείᾳ τᾷ μεταξὺ τοῦ κέντρου τοῦ ἁλίου καὶ τοῦ κέντρου τᾶς γᾶς· ταῦτα γὰρ ἐν ταῖς γραφομέναις παρὰ τῶν ἀστρολόγων δείξεσι διάκουσας. Ἀρίσταρχος δὲ ὁ Σάμιος ὑποθεσίων τινῶν ἐξέδωκεν γραφάς, ἐν αἷς ἐκ τῶν ὑποκειμένων συμβαίνει τὸν κόσμον πολλαπλάσιον εἶμεν τοῦ νῦν εἰρη-
5 μένου. ὑποτίθεται γὰρ τὰ μὲν ἀπλανέα τῶν ἄστρων καὶ τὸν ἅλιον μένειν ἀκίνητον, τὰν δὲ γᾶν περιφέρεσθαι περὶ τὸν ἅλιον κατὰ κύκλου περιφέρειαν, ὅς ἐστιν ἐν μέσῳ τῷ δρόμῳ κείμενος, τὰν δὲ τῶν ἀπλανέων ἄστρων σφαῖραν περὶ τὸ αὐτὸ κέντρον τῷ ἁλίῳ κειμέναν τῷ μεγέθει ταλικαύταν εἶμεν, ὥστε τὸν κύκλον, καθ' ὃν τὰν γᾶν ὑποτίθεται περιφέρεσθαι, τοιαύταν ἔχειν ἀναλογίαν ποτὶ τὰν τῶν ἀπλανέων ἀποστασίαν, οἵαν ἔχει
6 τὸ κέντρον τᾶς σφαίρας ποτὶ τὰν ἐπιφάνειαν. τοῦτο γ' εὔδηλον ὡς ἀδύνατόν ἐστιν· ἐπεὶ γὰρ τὸ τᾶς σφαίρας κέντρον οὐδὲν ἔχει μέγεθος, οὐδὲ λόγον ἔχειν οὐδένα ποτὶ τὰν ἐπιφάνειαν τᾶς σφαίρας ὑπολαπτέον αὐτό. ἐκδεκτέον δὲ τὸν Ἀρίσταρχον διανοεῖσθαι τόδε· ἐπειδὴ τὰν γᾶν ὑπολαμβάνομες ὥσπερ εἶμεν τὸ κέντρον τοῦ κόσμου, ὃν ἔχει λόγον ἁ γᾶ ποτὶ τὸν ὑφ' ἁμῶν εἰρημένον κόσμον, τοῦτον ἔχειν τὸν λόγον τὰν σφαῖραν, ἐν ᾇ ἐστιν ὁ κύκλος, καθ' ὃν τὰν γᾶν ὑποτίθεται περιφέρεσθαι, ποτὶ τὰν τῶν ἀπλανέων ἄστρων σφαῖραν· τὰς γὰρ ἀποδείξιας τῶν φαινομένων οὕτως ὑποκειμένῳ ἐναρμόζει, καὶ μάλιστα φαίνεται τὸ μέγεθος τᾶς σφαίρας, ἐν ᾇ ποιεῖται τὰν γᾶν κινουμέναν, ἴσον ὑποτίθεσθαι
7 τῷ ὑφ' ἁμῶν εἰρημένῳ κόσμῳ. φαμὲς δή, καὶ εἰ γέ-

mundo aequalem. nouisti autem, mundum a plerisque astro- 4
logis uocari sphaeram, cuius centrum sit centrum terrae, radius autem aequalis rectae inter centra solis et terrae positae; haec enim in demonstrationibus, quae ab astrologis scribuntur, cognouisti. Aristarchus uero Samius hypothesium quarundam descriptiones edidit, in quibus ex iis, quae supponuntur, adparet, mundum multiplicem esse, quam supra
dimixus. supponit enim, stellas fixas solemque immobiles 5
manere, terram uero circum solem in medio cursu positum secundum circuli ambitum circumuolui, sphaeram autem stellarum fixarum circum idem centrum positam, circum quod sol moueatur, tantam esse, ut circulus, secundum quem terram circumuolui supponit, eam rationem habeat ad distantiam stellarum fixarum, quam habeat centrum sphaerae ad
superficiem. hoc quidem fieri non posse manifestum est. nam 6
quoniam centrum sphaerae nullam magnitudinem habet [Eucl. I def. 1], ne rationem quidem ullam ad superficiem sphaerae habere putandum est. sed credendum est, Aristarchum hoc sentire: quoniam supponimus, terram quasi centrum mundi esse, sphaeram, in qua est circulus, secundum quem terram circumuolui supponit, ad sphaeram stellarum fixarum eam habere rationem, quam habeat terra ad mundum, qui uulgo uocatur;[1]) nam demonstrationes phaenomenorum ad suppositionem eiusmodi adcommodat, et ma-

1) Uera sententia Aristarchi haec fuisse uidetur, distantiam stellarum tantam esse, ut circulus, in quo terra moueatur, cum ea comparatus puncti locum obtineat; cfr. Aristarchus De distant. 2; Ptolemaeus *Συντ.* I, 6 p. 20. u. Quaest. Arch. p. 202; Nizze p. 210—11.

1 *μέγεθος*] G, *μεγεθους* A. 4 *ἐκ*] *Wallis*, om. A. *ἴσα*] *Wallis*, lac. A. *τᾷ εὐθείᾳ*] *Riualtus*, *αι ευθε·αι* A. 6 *διίξεσι διακουσας*] scripsi, *διακρουσας* A. 7 *δὲ*] addidi, om A. 8 *γραφάς*] *Bergk* et ego, *γραψας* A. 15 *ὥστε*] *Basil.*, *εστω* A. *ὃν*] *Basil.*, *αν* A. 19 *γ'*] *δ' Basil.* *τὸ*] G, *τα* A. 21 *αὐτό*] G, *αυτον* A. 23 *ὥσπερ εἶμεν*] scripsi, *ως πευι μεν* A. 26 *ὃν*] *Basil.*, *ου* A. 28 *γὰρ*] *Torellius*, om. A. *ὑποκειμένῳ*] *Gertz*, *υποκειμενον* A, *ὑποκειμένων* G. 30 *ὑποτίθεσθαι*] *Riualtus*, *υποτιθεται* A.

νοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκαν Ἀρίσταρχος ὑποτίθεται τὰν τῶν ἀπλανέων ἄστρων σφαῖραν εἶμεν, καὶ οὕτως τινὰς δειχθήσειν τῶν ἐν ἀρχᾷ ἀριθμῶν τῶν κατονομαξίαν ἐχόντων ὑπερβάλλοντας τῷ πλήθει τὸν ἀριθμὸν τὸν τοῦ ψάμμου τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ εἰρημένᾳ σφαίρᾳ, ὑποκειμέ-
8 *νων τῶνδε· πρῶτον μὲν τὰν περίμετρον τᾶς γᾶς εἶμεν ὡς τ̄ μυριάδων σταδίων καὶ μὴ μείζω, καίπερ τινῶν πεπειραμένων ἀποδεικνύειν, καθὼς καὶ τὺ παρακολουθεῖς, ἐοῦσαν αὐτὰν ὡς λ̄ μυριάδων σταδίων. ἐγὼ δ' ὑπερβαλλόμενος καὶ θεὶς τὸ μέγεθος τᾶς γᾶς ὡς δεκαπλάσιον τοῦ ὑπὸ τῶν προτέρων δεδοξασμένου τὰν περίμετρον αὐτᾶς ὑποτίθεμαι εἶμεν ὡς τ̄ μυριάδων σταδίων καὶ μὴ μείζω· μετὰ δὲ τοῦτο τὰν διάμετρον τᾶς γᾶς μείζονα εἶμεν τᾶς διαμέτρου τᾶς σελήνας, καὶ τὰν διάμετρον τοῦ ἁλίου μείζονα εἶμεν τᾶς διαμέτρου τᾶς γᾶς, ὁμοίως τὰ αὐτὰ λαμβάνων τοῖς πλείστοις τῶν προτέρων*
9 *ἀστρολόγων· μετὰ δὲ ταῦτα τὰν διάμετρον τοῦ ἁλίου τᾶς διαμέτρου τᾶς σελήνας ὡς τριακονταπλασίαν εἶμεν καὶ μὴ μείζονα, καίπερ τῶν προτέρων ἀστρολόγων Εὐδόξου μὲν ὡς ἐννεαπλασίονα ἀποφαινομένου, Φειδία δὲ τοῦ ἁμοῦ πατρὸς ὡς δὴ δωδεκαπλασίαν, Ἀριστάρχου δὲ πεπειραμένου δεικνύειν, ὅτι ἐστὶν ἁ διάμετρος τοῦ ἁλίου τᾶς διαμέτρου τᾶς σελήνας μείζων μὲν ἢ ὀκτωκαιδεκαπλασίων, ἐλάττων δὲ ἢ εἰκοσαπλασίων· ἐγὼ δὲ ὑπερβαλλόμενος καὶ τοῦτον, ὅπως τὸ προκείμενον ἀν-*

---

3 *δειχθήσειν*] *Ahrens*, *δειχθειό* A. 4 *ἀρχᾷ ἀριθμῶν*] scripsi praeeunte *Hultschio* (*Pauly-Wissowa* II p. 511), *αρχαις* A. *κατονομαξίαν*] scripsi praeeunte *Wallisio*, *κατονομαξιων* A. 6 *μέγεθος*] G, *μεγεθους* A. 8 *μυριάδων*] GH, *μοιριαδων* A. *μὴ*] *Wallis*, om. A. *μείζω*] *Wallis*, *μειζων* A. *καίπερ*] *Wallis*, *και περι* A. *τινῶν*] scripsi, *των* A. 9 *τὺ*] *Riualtus*, *τοι* A.

xime magnitudinem sphaerae, in qua terram moueri fingit,
aequalem mundo, qui uulgo uocatur, supponere uidetur.
dicimus igitur, etiamsi ex arena tanta sphaera colligatur, 7
quantam Aristarchus sphaeram stellarum fixarum esse sup-
ponat, sic quoque demonstrari posse, quosdam numerorum
denominatorum, quos supra significauimus [p. 216, 17 sqq.],
magnitudine numerum arenae superare magnitudinem ha-
bentis tali sphaerae aequalem, his suppositis:

1. primum perimetrum terrae 3000000 stadia longam 8
esse nec maiorem. quamquam quidam,[1]) ut tu quoque nouisti,
demonstrare conati sunt, eam 300000 stadia longam esse.
ego uero hunc numerum excedens et magnitudinem terrae
magnitudini a prioribus propositae decies fere sumptae aequa-
lem esse supponens perimetrum eius 3000000 fere stadia
longam esse suppono nec maiorem;

2. deinde diametrum terrae maiorem esse diametro lunae et diametrum solis maiorem diametro terrae, rursus eadem sumens, quae plerique astrologorum priorum;

3. deinde diametrum solis aequalem esse diametro lunae 9
tricies sumptae nec maiorem. quamquam ex astrologis prio-
ribus Eudoxus eam diametro lunae nouies sumptae aequalem
esse declarat, Phidias autem pater noster duodecies sumptae,
Aristarchus uero demonstrare conatus est, diametrum solis
maiorem esse diametro lunae duodeuicies sumpta, minorem
autem eadem uicies sumpta [De distant. prop. 9]; ego uero
eum quoque excedens, ut propositum pro certo sit demon-

1) Significatur sine dubio Dicaearchus; cfr. Berger, Gesch. d. wissensch. Erdkunde d. Griechen III p. 44.

---

10 *μυριάδων*] GH, *μοιριαδων* A. **11** *καὶ θεὶς*] scripsi, *καθεις* A. *δεκαπλάσιον*] *Wallis*, *δεκαπλασιων* A. **12** *δεδοξασμένον*] *Basil.*, *δεδοξασμενων* A. **13** *μυριάδων*] $\overset{υ}{μ}$ A. **14** *μείζω*] E, *μειζων* A. **15** *εἶμεν*] G, *εκειμεν* A. **20** *καίπερ*] *Wallis*, *και πιρι* A. **21** *ἐννεαπλασίονα*] *Wallis*, *εννεαπλασιον* A. **22** *ἁμοῦ*] *Blass* Kieler astron. Nachr. 1883 nr. 2488 col. 255 (NJ. CXXVII p. 382) et ego NJS. XIII p. 557; cfr. *Förster* NJ. CXXXIII p. 678. *δὴ*] A, del. *Wallis*. **23** *τοῦ*] addidi, om. A. **26** *προκείμενον*] *Gertz*, *υποκειμενον* A. *ἀναμφιλόγως*] scripsi, *ἀναμφιλογον* A.

αμφιλόγως ἢ δεδειγμένον, ὑποτίθεμαι τὰν διάμετρον τοῦ ἁλίου τᾶς διαμέτρου τᾶς σελήνας ὡς τριακοντα-
10 *πλασίαν εἶμεν καὶ μὴ μείζονα· ποτὶ δὲ τούτοις τὰν διάμετρον τοῦ ἁλίου μείζονα εἶμεν τᾶς τοῦ χιλιαγώνου πλευρᾶς τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου τῶν ἐν τῷ κόσμῳ. τοῦτο δὲ ὑποτίθεμαι Ἀριστάρχου μὲν εὑρηκότος τοῦ κύκλου τῶν ζῳδίων τὸν ἅλιον φαινόμενον ὡς τὸ εἰκοστὸν καὶ ἑπτακοσιοστόν, αὐτὸς δὲ ἐπισκεψάμενος τόνδε τὸν τρόπον ἐπειράθην ὀργανικῶς λαβεῖν τὰν γωνίαν, εἰς ἃν ὁ ἅλιος ἐναρμόζει τὰν κορυ-*
11 *φὰν ἔχουσαν ποτὶ τᾷ ὄψει. τὸ μὲν οὖν ἀκριβὲς λαβεῖν οὐκ εὐχερές ἐστι διὰ τὸ μήτε τὰν ὄψιν μήτε τὰς χεῖρας μήτε τὰ ὄργανα, δι' ὧν δεῖ λαβεῖν, ἀξιόπιστα εἶμεν τὸ ἀκριβὲς ἀποφαίνεσθαι· περὶ δὲ τούτων ἐπὶ τοῦ παρόντος οὐκ εὔκαιρον μακύνειν ἄλλως τε καὶ πλεονάκις τοιούτων ἐμπεφανισμένων· ἀποχρὴ δέ μοι ἐς τὰν ἀπόδειξιν τοῦ προκειμένου γωνίαν λαβεῖν, ἅτις ἐστὶ μὴ μείζων τᾶς γωνίας, εἰς ἃν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει, καὶ πάλιν ἄλλαν γωνίαν λαβεῖν, ἅτις ἐστὶν οὐκ ἐλάττων τᾶς γωνίας, εἰς ἃν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει.*
12 *τεθέντος οὖν μακροῦ κανόνος ἐπὶ πόδα ὀρθὸν ἐν τόπῳ κείμενον, ὅθεν ἤμελλεν ἀνατέλλων ὁ ἅλιος ὁρᾶσθαι, καὶ κυλίνδρου μικροῦ τορνευθέντος καὶ τεθέντος ἐπὶ τὸν κανόνα ὀρθοῦ εὐθέως μετὰ τὰν ἀνατολὰν τοῦ ἁλίου, ἔπειτ' ἐόντος αὐτοῦ ποτὶ τῷ ὁρίζοντι καὶ δυναμένου ἀντιβλέπεσθαι ἐπεστράφη ὁ κανὼν εἰς τὸν ἅλιον, καὶ ἁ ὄψις κατεστάθη ἐπὶ τὸ ἄκρον τοῦ κανόνος· ὁ δὲ κύλινδρος ἐν μέσῳ κείμενος τοῦ τε ἁλίου καὶ τᾶς ὄψιος ἐπεσκότει τῷ ἁλίῳ. ἀποχωριζόμενος οὖν [τοῦ κυλίνδρου] ἀπὸ τᾶς ὄψιος, ἐν ᾧ ἄρξατο παρα-*

stratum, suppono, diametrum solis aequalem esse lunae diametro tricies fere sumptae nec maiorem;

4. praeterea autem diametrum solis maiorem esse latere 10
figurae mille laterum in circulo maximo mundi inscriptae. hoc uero suppono, cum Aristarchus inuenerit, solem partem septingentesimam uicesimam fere circuli zodiaci esse adparere, ipse autem hoc modo scrutatus per instrumenta eum angulum deprehendere conatus sum, in quem sol aptatur
uerticem in oculo habentem. qua in re ipsum quidem uerum 11
deprehendere difficile est, quia neque uisus neque manus neque instrumenta, quibus utendum est, satis certa sunt ad uerum inueniendum; uerum de his rebus hoc tempore nihil adtinet pluribus disputare, praesertim cum talia saepius illustrata sint; ad demonstrationem autem propositi satis est mihi angulum deprehendere non maiorem angulo, in quem sol aptatur uerticem in oculo habentem, et rursus alium angulum deprehendere non minorem angulo, in quem sol
aptatur uerticem in oculo habentem. longa igitur regula in 12
pede perpendiculari posita, qui in eiusmodi loco collocatus erat, unde sol oriens conspici posset, et cylindro paruo tornato et in regula posito perpendiculari statim post ortum solis, cum sol prope horizontem esset, et oculi ex aduerso eum intueri possent, regula aduersus solem conuersa et oculus in extrema regula positus est; cylindrus autem in medio solis oculique positus soli officiebat. cylindrus igitur,

---

2 τοῦ — διαμέτρου] *Wallis*, om. A. 3 μείζονα] G, μειζον D, μείζων H, μείζω E. 7 εὑρηκότος] scripsi, ειρηκοτος A τὸν] G, των A. 10 εἰς ἂν] *Wallis*, ως αν A. 11 ἔχουσαν] EGH, εχουσα D. οὖν ἀκριβὲς] scripsi, ομοιον ακριβει A. 13 δεῖ λαβεῖν] scripsi, διαλαβειν A. ἀξιόπιστα] scripsi monente *Hultschio*, αξιοπιστας A. 17 μὴ] *Wallis*, om. A. 18 εἰς] ἐς G, αις A. ἐναρμόζει] G, εναρμοζη A. 19 τᾷ] *Wallis*, om. A. 20 εἰς] ἐς G, ας A. 21 ἐναρμόζει] G, εναρμοζη A. τᾳ] H, τι,α A, τῇ G. 22 πόδα] *Gertz*, πεδον A. 23 ἀνατέλλων] D, ανατελλειν A. 26 ἐόντος] *Wallis*, ιοντος A. δυναμένου] *Wallis*, δυναμενον του A, δυναμένου αὐτοῦ G, δυναμένου ἔτι *Hultsch*. 28 ἁ ὄψις] *Riualtus*, αψις A. 30 ἀποχωριζόμενος οὖν] scripsi, αποχωριζομενος A, ἀποχωριζομένου G. 31 τοῦ κυλίνδρου] deleo. ᾧ] scripsi, α A.

φαίνεσθαι τοῦ ἁλίου μικρὸν ἐφ' ἑκάτερα τοῦ κυλίνδρου,
13 κατεστάθη ὁ κύλινδρος. εἰ μὲν οὖν συνέβαινεν τὰν ὄψιν ἀφ' ἑνὸς σαμείου βλέπειν, εὐθειᾶν ἀχθεισᾶν ἀπ' ἄκρου τοῦ κανόνος, ἐν ᾧ τόπῳ ἁ ὄψις κατεστάθη, ἐπιψαυουσᾶν τοῦ κυλίνδρου ἁ περιεχομένα γωνία ὑπὸ τᾶν ἀχθεισᾶν ἐλάσσων κα ἦς τᾶς γωνίας, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει, διὰ τὸ παραβλέπεσθαί τι τοῦ ἁλίου ἐφ' ἑκάτερα τοῦ κυλίνδρου· ἐπεὶ δ' αἱ ὄψιες οὐκ ἀφ' ἑνὸς σαμείου βλέποντι, ἀλλὰ ἀπό τινος μεγέθεος, ἐλάφθη τι μέγεθος στρογγύλον οὐκ ἔλαττον ὄψιος, καὶ τεθέντος τοῦ μεγέθεος ἐπὶ τὸ ἄκρον τοῦ κανόνος, ἐν ᾧ τόπῳ ἁ ὄψις κατεστάθη, ἀχθεισᾶν εὐθειᾶν ἐπιψαυουσᾶν τοῦ τε μεγέθεος καὶ τοῦ κυλίνδρου ἁ οὖν περιεχομένα γωνία ὑπὸ τᾶν ἀχθεισᾶν ἐλάττων ἦς τᾶς γωνίας, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν
14 κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει. τὸ δὲ μέγεθος τὸ οὐκ ἔλαττον τᾶς ὄψιος τόνδε τὸν τρόπον εὑρίσκεται· δύο κυλίνδρια λαμβάνεται λεπτὰ ἰσοπαχέα ἀλλάλοις, τὸ μὲν λευκόν, τὸ δε οὔ, καὶ προτίθενται πρὸ τᾶς ὄψιος, τὸ μὲν λευκὸν ἀφεστακὸς ἀπ' αὐτᾶς, τὸ δὲ οὐ λευκὸν ὡς ἔστιν ἐγγυτάτω τᾶς ὄψιος, ὥστε καὶ θιγγάνειν τοῦ προσώπου. εἰ μὲν οὖν κα τὰ λαφθέντα κυλίνδρια λεπτότερα ἔωντι τᾶς ὄψιος, περιλαμβάνεται ὑπὸ τᾶς ὄψιος τὸ ἐγγὺς κυλίνδριον, καὶ ὁρῆται ὑπὸ αὐτᾶς τὸ λευκόν, εἰ μέν κα παρὰ πολὺ λεπτότερα ἔωντι, πᾶν, εἰ δέ κα μὴ παρὰ πολύ, μέρεά τινα τοῦ λευκοῦ ὁρῶνται ἐφ' ἑκάτερα τοῦ ἐγγὺς τᾶς ὄψιος, λαφθέντων δὲ τῶνδε τῶν κυλινδρίων ἐπιταδείων πως τῷ πάχει ἐπισκοτεῖ τὸ ἕτερον αὐτῶν τῷ ἑτέρῳ καὶ οὐ πλείονι τόπῳ· τὸ

1 μικρὸν] *Wallis*, μικρου A. 2 οὖν] scripsi, ομοιως A. 4 ἐπιψαυουσᾶν] *Riualtus*, επιψαυουσα A. 6 ἦς] scripsi, εις A.

qui ab oculo sensim remouebatur, ubi paululum solis in utra-
que parte cylindri adparere coepit, inhibitus est. iam, si 13
oculus re uera ab uno puncto prospectaret, rectis ab extrema
regula, quo loco oculus positus erat, cylindrum contingenti-
bus ductis angulus rectis ita ductis comprehensus minor esset
angulo, in quem sol aptatur uerticem in oculo habentem,
quia ex utraque parte cylindri pars solis conspiciebatur;
sed quoniam oculi ab uno puncto non prospectant, sed a
magnitudine quadám, magnitudinem quandam rotundam oculo
non minorem sumpsi, et magnitudine in extrema regula po-
sita, quo loco oculus positus erat, rectis et magnitudinem et
cylindrum contingentibus ductis angulus rectis ita ductis
comprehensus minor erat angulo, in quem sol aptatur uer-
ticem in oculo habentem. magnitudo autem oculo non minor 14
hoc modo inuenitur. sumuntur duo cylindri tenues eadem
crassitudine, alter albus, alter uero non, et ante oculum po-
nuntur, ita ut albus ab eo aliquantum absit, qui autem albus
non est, oculo quam proximus sit, ita ut etiam contingat
faciem. si igitur cylindri, quos sumpsimus, oculo tenuiores
sunt, cylindrus propior ab oculo comprehenditur, et albus ab
eo conspicitur, si multo tenuiores sunt, totus, si minus, partes
quaedam albi ex utraque parte cylindri oculo propioris con-
spiciuntur, aptis autem crassitudine sumptis cylindris illis
alter alteri officit nec maiori spatio; eiusmodi igitur magni-

---

εἰς] *ἐς* G, *αις* A. **7** *ἐναρμόζει*] GH, *εναρμοζη* A. *τὰν*] GH, *τα* D, *τᾶς* E. *ἔχουσαν*] *Basil.*, *εχουσας* A. **8** *παραβλέπεσθαί*] *Gertz*, *περιβλεπεσθαι* A. **9** *ἀφ' ἑνὸς σαμείου*] *Wallis*, *αφανη σημειον* A. **11** *ὄψιος*] *Wallis*, *οψις* A, *ἢ ὄψις* G. **12** *ἀχθεισᾶν εὐθεῖαν ἐπιψαυουσᾶν*] *Wallis*, *αχθεισα ευθεια επιψαυουσα* A. **15** *εἰς*] *ἐς* G, *αις* A. *ἐναρμόζει*] G, *εναρμοζη* A. **16** *ἔχουσαν*] *Nizzius*, *εχουσας* A. **18** *τὸ*] GH, *τα* A. **19** *πρὸ*] *πρὸ πρὸς* G, *ποτὶ* EH, *προς* comp. D. *ὄψιος*] *Wallis*, *οψιας* A. **20** *ὡς*] G, *ος* A, *ὅσον* E. **21** *ὄψιος*] *Wallis*, *οψιας* A. **22** *κα*] addidi, om. A. *λεπτότερα*] *Wallis*, *λεπτοτατα* A. **23** *ὄψιος*] *Wallis*, *οψιας* A. **25** *μέν*] *Wallis*, *κο* A. *λεπτότερα*] *Wallis*, *λεπτοτεραν* A. *ἔωντι*] *Wallis*, *εοντι* A. **27** *τοῦ*] G, *τας* A. **28** *κυλινδρίων*] *Wallis*, *κυλινδρων* A. *ἐπιταδείων*] *Wallis*, *επειτα δι' ων* A

δὴ ταλικοῦτον μέγεθος, ἁλίκον ἐστὶ τὸ πάχος τῶν κυλινδρίων τῶν τοῦτο ποιούντων μάλιστά πως ἐστιν
15 οὐκ ἔλαττον τᾶς ὄψιος. ἁ δὲ γωνία ἁ οὐκ ἐλάττων τᾶς γωνίας, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει, οὕτως ἐλάφθη· ἀποσταθέντος ἐπὶ τοῦ κανονίου τοῦ κυλίνδρου ἀπὸ τᾶς ὄψιος οὕτως, ὡς ἐπισκοτεῖν τὸν κύλινδρον ὅλῳ τῷ ἁλίῳ, καὶ ἀχθεισᾶν εὐθειᾶν ἀπ' ἄκρου τοῦ κανόνος, ἐν ᾧ τόπῳ ἁ ὄψις κατεστάθη, ἐπιψαυουσᾶν τοῦ κυλίνδρου ἁ περιεχομένα γωνία ὑπὸ τᾶν ἀχθεισᾶν εὐθειᾶν οὐκ ἐλάττων γίνεται τᾶς γωνίας, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν
16 ἔχουσαν ποτὶ τᾷ ὄψει. ταῖς δὴ γωνίαις ταῖς οὕτως λαφθείσαις καταμετρηθείσας ὀρθᾶς γωνίας ἐγένετο ἁ ἐν στίγῳ διαιρεθείσας τᾶς ὀρθᾶς εἰς $\overline{\rho\xi\delta}$ ἐλάττων ἢ ἓν μέρος τούτων, ἁ δὲ ἐλάττων διαιρεθείσας τᾶς ὀρθᾶς εἰς $\overline{\sigma}$ μείζων ἢ ἓν μέρος τούτων· δῆλον οὖν, ὅτι καὶ ἁ γωνία, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει, ἐλάττων μέν ἐστιν ἢ διαιρεθείσας τᾶς ὀρθᾶς εἰς $\overline{\rho\xi\delta}$ τούτων ἓν μέρος, μείζων δὲ
17 ἢ διαιρεθείσας τᾶς ὀρθᾶς εἰς $\overline{\sigma}$ τούτων ἓν μέρος. πεπιστευμένων δὲ τούτων δείκνυται ἁ διάμετρος τοῦ ἁλίου μείζων ἐοῦσα τᾶς τοῦ χιλιαγώνου πλευρᾶς τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου τῶν ἐν τῷ κόσμῳ. νοείσθω γὰρ ἐπίπεδον ἐκβεβλημένον διά τε τοῦ κέντρου τοῦ ἁλίου καὶ τοῦ κέντρου τᾶς γᾶς καὶ διὰ τᾶς ὄψιος, μικρὸν ὑπὲρ τὸν ὁρίζοντα ἐόντος τοῦ ἁλίου, τεμνέτω δὲ τὸ ἐκβληθὲν ἐπίπεδον τὸν μὲν κόσμον κατὰ τὸν $AB\Gamma$ κύκλον, τὰν δὲ γᾶν κατὰ τὸν ΔEZ, τὸν δὲ ἅλιον κατὰ

2 κυλινδρίων] *Wallis*, κυλινδρων A. 3 ἁ (alt.)] addidi, om. A. 4 εἰς] ἐς G, αις A. 5 ἐπὶ] *Wallis*, απο A. 7 ἐπισκοτεῖν] *Basil.*, επικροτειν A. 11 εἰς] ἐς G, αις A. ἐναρ-

tudo, qualis est crassitudo cylindrorum sic se habentium,
haud dubie oculo minor non est. angulus uero non minor 15
angulo, in quem sol aptatur uerticem in oculo habentem,
hoc modo sumptus est. cylindro in regula ita ab oculo re-
moto, ut soli toti officiat, et rectis ab extrema regula, quo
loco oculus positus erat, cylindrum contingentibus ductis
angulus rectis ita ductis comprehensus non minor est angulo,
in quem sol aptatur uerticem in oculo habentem. itaque 16
cum angulis ita deprehensis angulum rectum metirer, an-
gulus ad punctum positus[1]) minor inuentus est una parte
recto angulo in partes 164 diuiso, minor uero angulus maior
una parte recto angulo in partes 200 diuiso; adparet igitur,
etiam angulum, in quem sol aptatur uerticem in oculo ha-
bentem, minorem esse una parte angulo recto in partes 164
diuiso, maiorem uero una parte recto angulo in partes 200
diuiso. his autem confirmatis demonstrabimus, diametrum 17
solis maiorem esse latere figurae mille laterum in circulo
maximo mundi inscriptae. fingatur enim planum per centra
solis terraeque et per oculum positum, quo tempore sol paullo
supra horizontem est, et planum ita positum mundum secun-
dum circulum *ABΓ* secet, terram autem secundum circulum

---

1) Significatur angulus, cuius uertex est punctum illud in extrema regula positum (lin. 8), cum uertex anguli minoris (lin. 15) extra regulam cadat propter cylindros illos in eo inueniendo usurpatos. dubitari tamen potest, an corruptum sit uocabulum inauditum *στίγῳ* lin. 14; cfr. Quaest. Arch. p. 204.


μόζει] G, *εναρμοζη* A. **14** *ἐν στίγῳ*] *μὲν μείζων* *Wallis*. **15** Post *τούτων* rep. *ἁ δὲ ἐλάττων διαιρεθεῖσα τῶν ὀρθῶν εἰς σ̄ μείζων ἢ ἓν μέρος τούτων δῆλον οὖν ὅτι καὶ ἁ γωνία ἇς ἂν ὁ ἥλιος ἐναρμόζῃ τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει ἐλάττων μέν ἐστιν ἢ διαιρεθείσας ἐς ρξδ̄ τούτων* A; corr. *Basil.* *διαιρεθείσας τᾶς ὀρθᾶς*] *Basil.*, *διαιρεθεισα των ορθων* A. **17** *εἰς ἂν*] *ἐς ἂν* G (in repetit.), *α ισαν* A. *ἐναρμόζει*] G, *εναρμοζη* A. **21** *δείκνυται*] *Wallis*, *δι' ων και* A. **22** *χιλιαγώνου*] G, *χιλιαγωνιου* A. **23** *τῶν*] *Wallis*, *τας* A. **25** *τοῦ ἁλίου καὶ τοῦ κέντρου*] addidi, om. A. **25** *γᾶς*] *γᾶς καὶ τοῦ ἁλίου* G. **27** *ἐκβληθὲν*] *Wallis*, *εκβεβληθεν* A.

τὸν ΣΗ κύκλον, κέντρον δὲ ἔστω τᾶς μὲν γᾶς τὸ Θ, τοῦ δὲ ἁλίου τὸ Κ, ὄψις δὲ ἔστω τὸ Δ, καὶ ἄχθωσαν εὐθεῖαι ἐπιψαύουσαι τοῦ ΣΗ κύκλου ἀπὸ μὲν τοῦ Δ αἱ ΔΛ, ΔΞ, ἐπιψαυόντων δὲ κατὰ τὸ Ν καὶ τὸ Τ, ἀπὸ δὲ τοῦ Θ αἱ ΘΜ, ΘΟ, ἐπιψαυόντων δὲ κατὰ τὸ Χ καὶ τὸ Ρ, τὸν δὲ ΑΒΓ κύκλον τεμνόντων αἱ ΘΜ,
18 *ΘΟ κατὰ τὸ Α καὶ τὸ Β· ἔστι δὴ μείζων ἁ ΘΚ τᾶς ΔΚ, ἐπεὶ ὑπόκειται ὁ ἅλιος ὑπὲρ τὸν ὁρίζοντα εἶμεν· ὥστε ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΔΛ, ΔΞ μείζων ἐστὶ τᾶς γωνίας τᾶς περιεχομένας ὑπὸ τᾶν ΘΜ, ΘΟ. ἁ δὲ περιεχομένα γωνία ὑπὸ τᾶν ΔΛ, ΔΞ μείζων μέν ἐστιν ἢ διακοσιοστὸν μέρος ὀρθᾶς, ἐλάττων δὲ ἢ τᾶς ὀρθᾶς διαιρεθείσας εἰς* $\overline{\varrho\xi\delta}$ *τούτων ἓν μέρος· ἴσα γάρ ἐστιν τᾷ γωνίᾳ, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει· ὥστε ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΘΜ, ΘΟ ἐλάττων ἐστὶν ἢ τᾶς ὀρθᾶς διαιρεθείσας εἰς* $\overline{\varrho\xi\delta}$ *τούτων ἓν μέρος, ἁ δὲ ΑΒ εὐθεῖα ἐλάττων ἐστὶ τᾶς ὑποτεινούσας ἓν τμᾶμα διαιρε-*
19 *θείσας τᾶς τοῦ ΑΒΓ κύκλου περιφερείας ἐς* $\overline{\chi\nu\varsigma}$. *ἁ δὲ τοῦ εἰρημένου πολυγωνίου περίμετρος ποτὶ τὰν ἐκ τοῦ κέντρου τοῦ ΑΒΓ κύκλου ἐλάττονα λόγον ἔχει ἢ*

3 Δ] G, om. A. 6 Χ καὶ τὸ Ρ] A, Ρ καὶ τὸ Χ *Torellius.* ΘΜ] *Basil.*, ΘΗ A. 7 ΘΚ] *Basil.*, ΟΚ A. 10 ΘΜ] *Basil.*, ΘΝ A. 13 ἴσα γάρ] *Wallis*, ισον γωνιαι A. 14 εἰς] ἐς G, αις A. 19 ΑΒΓ] *Basil.*, ΑΒΝ A. Fig. om. A lac. relicta.

1) Itaque ∠ ΘΔΚ obtusus est (si enim sol in horizonte esset, rectus esset, quia horizon inuenitur recta in puncto Δ ad ΔΘ perpendiculari erecta).

$\varDelta EZ$, solem autem secundum circulum $\varSigma H$, et terrae centrum sit Θ, solis autem K, oculus autem sit $\varDelta$, et ducantur rectae circulum $\varSigma H$ contingentes, a puncto $\varDelta$ rectae $\varDelta\varLambda$, $\varDelta\varXi$, quae in punctis N, T contingant, a Θ autem puncto ΘM, ΘO, quae in punctis X, P contingant, et rectae ΘM, ΘO circulum $AB\varGamma$ in punctis A, B secent. erit igitur $\Theta K > \varDelta K$, quia 18



suppositum est, solem super horizontem esse;[1]) quare angulus rectis $\varDelta\varLambda$, $\varDelta\varXi$ comprehensus maior est angulo rectis ΘM, ΘO comprehenso [Eucl. Opt. 24]. sed angulus rectis $\varDelta\varLambda$, $\varDelta\varXi$ comprehensus maior est quam pars ducentesima anguli recti, minor autem una parte angulo recto in partes 164 diuiso; nam aequalis est angulo, in quem sol aptatur uerticem in oculo habentem; quare angulus rectis ΘM, ΘO comprehensus minor est una parte recto angulo in partes 164 diuiso, et recta AB minor est recta sub una parte sub-

τὰ μδ ποτὶ τὰ ζ διὰ τὸ παντὸς πολυγωνίου ἐγγεγραμμένου ἐν κύκλῳ τὰν περίμετρον ποτὶ τὰν ἐκ τοῦ κέντρου ἐλάττονα λόγον ἔχειν ἢ τὰ μδ ποτὶ τὰ ζ· ἐπίστασαι γὰρ δεδειγμένον ὑφ' ἁμῶν, ὅτι παντὸς κύκλου ἁ περιφέρεια μείζων ἐστὶν ἢ τριπλασίων τᾶς διαμέτρου ἐλάσσονι ἢ ἑβδόμῳ μέρει, ταύτας δὲ ἐλάττων ἐστὶν ἁ περίμετρος τοῦ ἐγγραφέντος πολυγωνίου· ἐλάττω οὖν λόγον ἔχει ἁ ΒΑ ποτὶ τὰν ΘΚ ἢ τὰ ια ποτὶ τὰ ͵αρμη· ὥστε ἐλάττων ἐστὶν ἁ ΒΑ τᾶς ΘΚ ἢ ἑκα-
20 τοστὸν μέρος. τᾷ δὲ ΒΑ ἴσα ἐστὶν ἁ διάμετρος τοῦ ΣΗ κύκλου, διότι καὶ ἁ ἡμίσεια αὐτᾶς ἁ ΦΑ ἴσα ἐστὶ τᾷ ΚΡ· ἰσᾶν γὰρ ἐουσᾶν τᾶν ΘΚ, ΘΑ ἀπὸ τῶν περάτων καθέτοι ἐπιζεύγνυνται ὑπὸ τὰν αὐτὰν γωνίαν· δῆλον οὖν, ὅτι ἁ διάμετρος τοῦ ΣΗ κύκλου ἐλάττων ἐστὶν ἢ ἑκατοστὸν μέρος τᾶς ΘΚ. καὶ ἁ ΕΘΥ διάμετρος ἐλάττων ἐστὶ τᾶς διαμέτρου τοῦ ΣΗ κύκλου, ἐπεὶ ἐλάττων ἐστὶν ὁ ΔΕΖ κύκλος τοῦ ΣΗ κύκλου· ἐλάττονες ἄρα ἐντὶ ἀμφότεραι αἱ ΘΥ, ΚΣ ἢ ἑκατοστὸν μέρος τᾶς ΘΚ· ὥστε ἁ ΘΚ ποτὶ τὰν ΥΣ ἐλάττονα λόγον ἔχει ἢ τὰ ρ ποτὶ τὰ ϙθ. καὶ ἐπεὶ ἁ μὲν ΘΚ οὐκ ἐλάττων ἐστὶ τᾶς ΘΡ, ἁ δὲ ΣΥ ἐλάττων τᾶς ΔΤ, ἐλάττω ἄρα κα λόγον ἔχοι ἁ ΘΡ
21 ποτὶ τὰν ΔΤ ἢ τὰ ρ ποτὶ τὰ ϙθ. ἐπεὶ δὲ τῶν ΘΚΡ, ΔΚΤ ὀρθογωνίων ἐόντων αἱ μὲν ΚΡ, ΚΤ πλευραὶ ἴσαι ἐντί, αἱ δὲ ΘΡ, ΔΤ ἄνισοι καὶ μείζων ἁ ΘΡ, ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΔΤ, ΔΚ ποτὶ τὰν

3 ἔχειν] G, εχει A. 6 ταύτας] scripsi, τας A. ἐλάττων — 7 πολυγωνίου] addidi, om. A. 8 οὖν] *Riualtus*, lac. A. ἁ] G, ἢ ἁ A. 11 ΣΗ] *Basil.*, ΕΗ A. 12 ΘΑ] scripsi, τα ΘΑ A. 13 ἐπιζεύγνυνται] scripsi, επιζευγνυμεναι A. ὑπὸ] scripsi, επι A. 14 ΣΗ] G², ΑΒΓ A. 16 διάμετρος] G², γωνια A. ΣΗ] G², ΑΒΗ A. 17 ΣΗ] G, ΕΗ A. 19 τᾶς]

tendenti, ambitu circuli $AB\Gamma$ in partes 656 diuiso. sed perimetrus polygoni illius ad radium circuli $AB\Gamma$ minorem rationem habet quam 44 : 7, quia perimetrus cuiusuis polygoni in circulo inscripti ad radium minorem rationem habet quam 44 : 7; nouisti enim a nobis demonstratum esse, cuiusuis circuli ambitum maiorem esse quam triplo maiorem diametro spatio minore, quam est septima pars ⟨diametri⟩ [Dim. circ. 3], eo autem minor est perimetrus polygoni inscripti [De sph. et cyl. I p. 10, 1 sqq.]; quare $BA : \Theta K < 11 : 1148$; itaque $BA < \frac{1}{100}\Theta K$. sed rectae BA aequalis est diametrus circuli ΣH, quia $\frac{1}{2} BA$ siue 19 20

$$\Phi A = KP;$$

nam ab terminis rectarum aequalium ΘK, ΘA perpendiculares ducuntur sub eodem angulo subtendentes;[1]) adparet igitur, diametrum circuli ΣH minorem esse quam $\frac{1}{100}\Theta K$. et diametrus $E\Theta\Upsilon$ minor est diametro circuli ΣH, quoniam circulus ΔEZ minor est circulo ΣH [hypoth. 2]; itaque

$$\Theta\Upsilon + K\Sigma < \tfrac{1}{100}\Theta K;$$

quare $\Theta K : \Upsilon\Sigma < 100 : 99$. et quoniam ΘK recta ΘP minor non est [Eucl. III, 8] et $\Sigma\Upsilon < \Delta T$,[2]) erit $\Theta P : \Delta T < 100 : 99$. et quoniam in triangulis rectangulis ΘKP, 21
ΔKT latera KP, KT aequalia sunt, latera autem ΘP, ΔT inaequalia, et $\Theta P > \Delta T$,[3]) angulus rectis ΔT, ΔK com-

1) H. e. $\triangle\, \Theta A\Phi \cong \Theta KP$; Eucl. I, 26.

2) Quia $\Sigma\Upsilon$ omnium rectarum duo puncta circulorum ΔEZ, ΣH iungentium minima est; u. Nizzius p. 214 not. β.

3) Quia $\Theta K > \Delta K$; nam crura anguli rectis contingentibus comprehensi eo maiora sunt, quo longius uertex anguli a centro circuli abest.

τῆς *Riualtus*, του A. 21 ΘΚ οὐκ] F, *Wallis*; ΘΚΤ A. 22 κα] scripsi, και A. ἔχοι] A, εχει EH. 23 τὰν] GH, τα A. ἐπεί] *Wallis*, επι A. δὲ] addidi, om. A. 25 ΘΡ, ἁ] *Wallis*, ΟΡΑ A. 26 ἁ (alt.)] addidi, om. A.

γωνίαν τὰν περιεχομέναν ὑπὸ τᾶν ΘΡ, ΘΚ μείζονα μὲν ἔχει λόγον ἢ ἁ ΘΚ ποτὶ τὰν ΔΚ, ἐλάττω δὲ ἢ ἁ ΘΡ ποτὶ τὰν ΔΤ· εἰ γάρ κα δυῶν τριγώνων ὀρθογωνίων αἱ μὲν ἅτεραι πλευραὶ αἱ περὶ τὰν ὀρθὰν γωνίαν ἴσαι ἔωντι, αἱ δὲ ἅτεραι ἀνίσοι, ἁ μείζων γωνία τᾶν ποτὶ ταῖς ἀνίσοις πλευραῖς ποτὶ τὰν ἐλάττονα μείζονα μὲν ἔχει λόγον ἢ ἁ μείζων γραμμὰ τᾶν ὑπὸ τὰν ὀρθὰν γωνίαν ὑποτεινουσᾶν ποτὶ τὰν ἐλάττονα, ἐλάττονα δὲ ἢ ἁ μείζων γραμμὰ τᾶν περὶ τὰν ὀρθὰν
22 γωνίαν ποτὶ τὰν ἐλάττονα. ὥστε ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΔΛ, ΔΞ ποτὶ τὰν γωνίαν τὰν περιεχομέναν ὑπὸ τᾶν ΘΟ, ΘΜ ἐλάττω λόγον ἔχει ἢ ἁ ΘΡ ποτὶ τὰν ΔΤ, ἅτις ἐλάττω λόγον ἔχει ἢ τὰ ρ̄ ποτὶ τὰ ϙ̄θ̄· ὥστε καὶ ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΔΛ, ΔΞ ποτὶ τὰν γωνίαν τὰν περιεχομέναν ὑπὸ τᾶν ΘΜ, ΘΟ ἐλάττω λόγον ἔχει ἢ τὰ ρ̄ ποτὶ τὰ ϙ̄θ̄. καὶ ἐπεί ἐστιν ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΔΛ, ΔΞ μείζων ἢ διακοσιοστὸν μέρος ὀρθᾶς, εἴη κα ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΘΜ, ΘΟ μείζων ἢ τᾶς ὀρθᾶς διαιρεθείσας ἐς δισμύρια τούτων ϙ̄θ̄ μέρεα· ὥστε μείζων ἐστὶν ἢ διαιρεθείσας τᾶς ὀρθᾶς εἰς σ̄ καὶ γ̄ τούτων ἓν μέρος. ἁ ἄρα ΒΛ μείζων ἐστὶ τᾶς ὑποτεινούσας ἓν τμᾶμα διῃρημένας τᾶς τοῦ ΑΒΓ κύκλου περιφερείας εἰς ω̄ῑβ̄. τᾶ δὲ ΑΒ ἴσα ἐντὶ ἁ τοῦ ἁλίου διάμετρος· δῆλον οὖν, ὅτι μείζων ἐστὶν ἁ τοῦ ἁλίου διάμετρος τᾶς τοῦ χιλιαγώνου πλευρᾶς.

1 II. Τούτων δὲ ὑποκειμένων δείκνυται καὶ τάδε· οἷον ἁ διάμετρος τοῦ κόσμου τᾶς διαμέτρου τᾶς γᾶς ἐλάττων ἐστὶν ἢ μυριοπλασίων, καὶ ἔτι ἁ διάμετρος τοῦ κόσμου ἐλάττων ἐστὶν ἢ σταδίων μυριάκις μυριάδες ρ̄. ἐπεὶ γὰρ ὑπόκειται τὰν διάμετρον τοῦ ἁλίου μὴ μείζω

prehensus ad angulum rectis ΘP, ΘK comprehensum maiorem rationem habet quam $\Theta K : \Delta K$, minorem autem quam $\Theta P : \Delta T$; nam, si in duobus triangulis rectangulis duo laterum rectum angulum comprehendentium aequalia sunt, duo inaequalia, maior angulorum ad latera inaequalia positorum ad minorem maiorem rationem habet quam maior recta earum, quae sub angulo recto subtendunt, ad minorem, minorem autem quam maior rectarum angulum rectum comprehendentium ad minorem.[1]) erit igitur 22

$\angle A\Delta\Xi : O\Theta M < \Theta P : \Delta T$. sed $\Theta P : \Delta T < 100 : 99$;

quare etiam $\angle A\Delta\Xi : O\Theta M < 100 : 99$. et quoniam est $\angle A\Delta\Xi > \frac{1}{200}$ anguli recti, erit etiam

$$\angle O\Theta M > \tfrac{99}{20000} \text{ anguli recti};$$

quare $\angle O\Theta M > \frac{1}{203}$ anguli recti.[2]) itaque recta BA maior est recta sub una parte subtendenti ambitu circuli $AB\Gamma$ in partes 812 diuiso. sed rectae AB aequalis est diametrus solis;[3]) adparet igitur,[4]) diametrum solis maiorem esse latere figurae mille laterum.

II. His autem suppositis haec quoque demonstrari possunt: uelut diametrum mundi minorem esse diametro terrae decies millies sumpta, et praeterea, diametrum mundi minus quam 10000000000 stadia longam esse. nam quoniam sup- 1

1) Demonstrationem huius propositionis geometricam, quae Eucl. VI, 33 et 1, Ptolemaei Σύντ. I, 10 p. 43, 6 sqq. nititur, dedit Commandinus fol. 62 (Quaest. Arch. p. 204 sq.), trigonometricam Nizzius p. 214 not. γ.

2) Nam $99 > \frac{1}{203} \times 20000$.

3) H. e. diametrus circuli ΣH; u. p. 230, 10.

4) Quia latera polygonorum inscriptorum, quo plura, eo minora sunt; itaque latus figurae 812 laterum, quod minus est recta AB, maius est latere figurae mille laterum.

7 τᾶν] G, τα A. 8 ὑποτεινουσᾶν] *Wallis*, υποτεινουσα A. ποτί] G, om. A. 12 ΘO] *Wallis*, ΘN A. 18 εἴη κα] G, η εικα A. 20 μέρεα] *Wallis*, μερος A. 22 ἁ ἄρα] scripsi, αρα α A. 24 εἰς] ἐς G, αις A. τᾷ] EG, ταν A. 27 οἷον] fort. ὅτι. 29 ἔτι] fort. ἔτι ὅτι. 31 μείζω] *Wallis*, μειζων A, μείζονα G.

εἶμεν ἢ τριακονταπλασίονα τᾶς διαμέτρου τᾶς σελήνας, τὰν δὲ διάμετρον τᾶς γᾶς μείζω εἶμεν τᾶς διαμέτρου τᾶς σελήνας, δῆλον, ὡς ἁ διάμετρος τοῦ ἁλίου ἐλάττων ἐστὶν ἢ τριακονταπλασίων τᾶς διαμέτρου τᾶς γᾶς. πάλιν δέ, ἐπεὶ ἐδείχθη ἁ διάμετρος τοῦ ἁλίου μείζων ἐοῦσα τᾶς τοῦ χιλιαγώνου πλευρᾶς τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου τῶν ἐν τῷ κόσμῳ, φανερόν, ὅτι ἁ τοῦ χιλιαγώνου περίμετρος τοῦ εἰρημένου ἐλάττων ἐστὶν ἢ χιλιοπλασίων τᾶς διαμέτρου τοῦ ἁλίου. ἁ δὲ διάμετρος τοῦ ἁλίου ἐλάττων ἐστὶν ἢ τριακονταπλασίων τᾶς διαμέτρου τᾶς γᾶς· ὥστε ἁ περίμετρος τοῦ χιλιαγώνου ἐλάττων ἐστὶν ἢ τρισμυριοπλασίων τᾶς δια-
2 μέτρου τᾶς γᾶς. ἐπεὶ οὖν ἁ περίμετρος τοῦ χιλιαγώνου τᾶς μὲν διαμέτρου τᾶς γᾶς ἐλάττων ἐστὶν ἢ τρισμυριοπλασίων, τᾶς δὲ διαμέτρου τοῦ κόσμου μείζων ἢ τριπλασίων· δέδεικται γάρ τοι, διότι παντὸς κύκλου ἁ διάμετρος ἐλάττων ἐστὶν ἢ τρίτον μέρος παντὸς πολυγωνίου τᾶς περιμέτρου, ὅ κα ἰσόπλευρον ᾖ καὶ πολυγωνότερον τοῦ ἑξαγώνου ἐγγεγραμμένον ἐν τῷ κύκλῳ· εἴη κα ἁ διάμετρος τοῦ κόσμου ἐλάττων ἢ μυριοπλασίων τᾶς διαμέτρου τᾶς γᾶς. ἁ μὲν οὖν διάμετρος τοῦ κόσμου ἐλάττων ἐοῦσα ἢ μυριοπλασίων τᾶς διαμέτρου
3 τᾶς γᾶς δέδεικται· ὅτι δὲ ἐλάττων ἐστὶν ἁ διάμετρος τοῦ κόσμου ἢ σταδίων μυριάκις μυριάδες ρ̄, ἐκ τούτου δῆλον· ἐπεὶ γὰρ ὑπόκειται τὰν περίμετρον τᾶς γᾶς μὴ μείζονα εἶμεν ἢ τριακοσίας μυριάδας σταδίων, ἁ δὲ περίμετρος τᾶς γᾶς μείζων ἐστὶν ἢ τριπλασία τᾶς διαμέτρου διὰ τὸ παντὸς κύκλου τὰν περιφέρειαν μείζονα εἶμεν ἢ τριπλασίονα τᾶς διαμέτρου, δῆλον, ὡς ἁ διάμετρος τᾶς γᾶς ἐλάττων ἐστὶν ἢ σταδίων ρ̄ μυριάδες. ἐπεὶ οὖν ἁ τοῦ κόσμου διάμετρος ἐλάττων

positum est, diametrum solis non maiorem esse quam diametrum lunae tricies sumptam [hypoth. 3], et diametrum terrae maiorem esse diametro lunae [hypoth. 2], adparet, diametrum solis minorem esse quam diametrum terrae tricies sumptam. rursus autem, quoniam demonstratum est, diametrum solis maiorem esse latere figurae mille laterum in circulo maximo mundi inscriptae, manifestum est, perimetrum figurae illius mille laterum minorem esse diametro solis millies sumpta. diametrus autem solis minor est quam diametrus terrae tricies sumpta; quare perimetrus figurae mille laterum minor est diametro terrae tricies millies
sumpta. iam quoniam perimetrus figurae mille laterum minor 2
est diametro terrae tricies millies sumpta, maior autem quam triplo maior diametro mundi (nam demonstratum est, cuiusuis circuli diametrum minorem esse tertia parte perimetri cuiusuis polygoni in circulo inscripti, quod aequilaterum sit et plus quam sex latera habeat),[1]) diametrus mundi minor erit diametro terrae decies millies sumpta. itaque demonstratum est, diametrum mundi minorem esse diametro terrae
decies millies sumpta; diametrum autem mundi minus quam 3
stadia 10000000000 longam esse, hinc adparet; quoniam enim suppositum est, perimetrum terrae non plus quam 3000000 stadia longam esse [hypoth. 4], et perimetrus terrae maior est quam triplo maior diametro, quia cuiusuis circuli ambitus maior est quam triplo maior diametro [Dim.

1) Nam perimetrus hexagoni triplo maior est diametro (Eucl. IV, 15 coroll.), et quo plura sunt latera, eo maiores sunt perimetri.

1 *τριακονταπλασίονα*] G, *τριακονταπλασιων* A. 2 *μείζω*] *Wallis*, *μειζων* A, *μείζονα* G. 18 *τᾶς*] addidi, om. A. *κα*] *Wallis*, *και* A. *ἰσόπλευρον ἦ*] scripsi, *εις ο ΕΘ πλευραν εον* A, *ἰσόπλευρον ἐὸν Wallis*. *πολυγωνότερον*] scripsi, *πολυγωνου οτι* A, *πολυγωνιώτερον Wallis*. 19 *ἐγγεγραμμένον*] *Wallis*, *εγγεγραμμενον* A. *ἐν*] scripsi, *μεν* A. *τῷ κύκλῳ*] *Wallis*, *του κυκλου* A. 23 *τᾶς — διάμετρος*] addidi, om. A. 25 *τὰν*] G, *τον* A. 26 *ά*] *Wallis*, *εστιν α* A. 27 *ἦ*] G, om. A. 29 *τριπλασίονα*] G, *τριπλασιων* A. 30 *μυριάδες*] scripsi, *μυριαδων* A.

ἐστὶν ἢ μυριοπλασίων τᾶς διαμέτρου τᾶς γᾶς, δῆλον,
ὡς ἁ τοῦ κόσμου διάμετρος ἐλάττων ἐστὶν ἢ σταδίων
4 μυριάκις μυριάδες ρ̅. περὶ μὲν οὖν τῶν μεγεθέων
καὶ τῶν ἀποστημάτων ταῦτα ὑποτίθεμαι, περὶ δὲ τοῦ
ψάμμου τάδε· εἴ κα ᾖ τι συγκείμενον μέγεθος ἐκ τοῦ
ψάμμου μὴ μεῖζον μάκωνος, τὸν ἀριθμὸν αὐτοῦ μὴ
μείζονα εἶμεν μυρίων, καὶ τὰν διάμετρον τᾶς μάκωνος
μὴ ἐλάττονα εἶμεν ἢ τετρωκοστομόριον δακτύλου. ὑπο-
τίθεμαι δὲ τοῦτο ἐπισκεψάμενος τόνδε τὸν τρόπον·
ἐτέθεν ἐπὶ κανόνα λεῖον μάκωνες ἐπ' εὐθείας ἐπὶ μίαν
κείμεναι ἁπτόμεναι ἀλλαλᾶν, καὶ ἀνέλαβον αἱ κε̅ μά-
κωνες πλέονα τόπον δακτυλιαίου μάκεος. ἐλάττονα οὖν
τιθεὶς τὰν διάμετρον τᾶς μάκωνος ὑποτίθεμαι ὡς τε-
τρωκοστομόριον εἶμεν δακτύλου καὶ μὴ ἐλάττονα βου-
λόμενος καὶ διὰ τούτων ἀναμφιλογώτατα δείκνυσθαι
τὸ προκείμενον.

1 III. Ἃ μὲν οὖν ὑποτίθεμαι, ταῦτα· χρήσιμον δὲ
εἶμεν ὑπολαμβάνω τὰν κατονόμαξιν τῶν ἀριθμῶν ῥη-
θῆμεν, ὅπως καὶ τῶν ἄλλων οἱ τῷ βιβλίῳ μὴ περι-
τετευχότες τῷ ποτὶ Ζεύξιππον γεγραμμένῳ μὴ πλα-
νῶνται διὰ τὸ μηδὲν εἶμεν ὑπὲρ αὐτᾶς ἐν τῷδε τῷ
2 βιβλίῳ προειρημένον. συμβαίνει δὴ τὰ ὀνόματα τῶν
ἀριθμῶν ἐς τὸ μὲν τῶν μυρίων ὑπάρχειν ἁμῖν παρα-
δεδομένα, καὶ ὑπὲρ τὸ τῶν μυρίων [μὲν] ἀποχρεόντως
γιγνώσκομες μυριάδων ἀριθμὸν λέγοντες ἔστε ποτὶ τὰς
μυρίας μυριάδας. ἔστων οὖν ἁμῖν οἱ μὲν νῦν εἰρη-
μένοι ἀριθμοὶ ἐς τὰς μυρίας μυριάδας πρῶτοι καλού-
μενοι, τῶν δὲ πρώτων ἀριθμῶν αἱ μύριαι μυριάδες
μονὰς καλείσθω δευτέρων ἀριθμῶν, καὶ ἀριθμείσθων

3 μὲν οὖν τῶν] addidi, om. A. 6 μεῖζον] G, μειζων A.
8 τετρωκοστομόριον] e corr. E, *Ahrens*; τετρωκοντομοριον A.

circ. 3], adparet, diametrum terrae minus quam 1000000
stadia longam esse. iam quoniam diametrus mundi minor
est diametro terrae decies millies sumpta, adparet, diametrum
mundi minus quam 10000000000 stadia longam esse. de 4
magnitudinibus igitur et distantiis haec suppono, de arena
autem haecce: si ex arena magnitudo colligatur non maior
semine papaueris, numerum arenae non maiorem esse quam
10000, et diametrum seminis papaueris non minorem esse
quadragesima parte digiti. hoc autem suppono re hoc modo
examinata: in regula laeui semina papaueris in eadem linea
recta posita sunt, ita ut inter se tangerent, et uiginti quin-
que semina spatium maius longitudine digitali expleuerunt.
diametrum igitur seminis papaueris minorem ponens eam
quadragesimam fere partem digiti esse suppono nec minorem,
propositum etiam hac ex parte quam certissime demonstrari
cupiens.[1])

III. Haec sunt igitur, quae suppono; utile autem esse 1
existimo, denominationem numerorum exponi, ut ceterorum
quoque qui in librum ad Zeuxippum missum non inciderunt,
ne haereant, quod nihil de ea hoc in libro dictum sit. ac- 2
cidit igitur, ut nomina numerorum ad 10000 nobis tradita
sint, et super 10000 satis ea intellegimus myriades nume-
rantes usque ad 100000000. hi igitur numeri usque ad
100000000 primi uocentur, decem autem millia myriadum
primorum numerorum unitas uocetur secundorum numerorum,
et numerentur secundorum unitates et ex unitatibus decades

1) Cfr. Kästner, Gesch. d. Mathem. II p. 746.

12 *οὖν*] addidi, om. A. 15 *ἀναμφιλογώτατα*] scripsi, *αναμφιλογωτατον* A. 19 *περιτετευχότες*] *Nizzius*, *περιτευατ᾽ ες* A. 20 *τῷ*] *Wallis*, *το* A. 22 *προειρημένον*] *Riualtus*, *προειρημενων* A. 23 *τὸ*] *Wallis*, *τα* A. 24 *τὸ*] addidi, om. A. *μὲν*] A, deleo; an *μονάδων*? 25 *γιγνώσκομες*] *Gertz*, *εγιγνωσκομεν* A. *ἔστε*] scripsi, *ες τοις* A. 26 *μυρίας*] *Wallis*, om. A. *ἔστων*] *Wallis*, *εστω* A. 27 *τὰς*] *Wallis*, *τὰ* DG, *τὰν* EH. *μυρίας μυριάδας*] *Wallis*, *μυριαν μυριαδων* A. 29 *ἀριθμῶν*] *Wallis*, om. A. *ἀριθμείσθων*] scripsi, *αριθμων* A.

τῶν δευτέρων μονάδες καὶ ἐκ τᾶν μονάδων δεκάδες καὶ ἑκατοντάδες καὶ χιλιάδες καὶ μυριάδες ἐς τὰς μυρίας μυριάδας. πάλιν δὲ καὶ αἱ μύριαι μυριάδες τῶν δευτέρων ἀριθμῶν μονὰς καλείσθω τρίτων ἀριθμῶν, καὶ ἀριθμείσθων τῶν τρίτων ἀριθμῶν μονάδες καὶ ἀπὸ τᾶν μονάδων δεκάδες καὶ ἑκατοντάδες καὶ χιλιάδες καὶ

8 *μυριάδες ἐς τὰς μυρίας μυριάδας. τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν τρίτων ἀριθμῶν μύριαι μυριάδες μονὰς καλείσθω τετάρτων ἀριθμῶν, καὶ αἱ τῶν τετάρτων ἀριθμῶν μύριαι μυριάδες μονὰς καλείσθω πέμπτων ἀριθμῶν, καὶ ἀεὶ οὕτως προάγοντες οἱ ἀριθμοὶ τὰ ὀνόματα ἐχόντων ἐς τὰς μυριακισμυριοστῶν ἀριθμῶν μυρίας μυριάδας. ἀποχρέοντι μὲν οὖν καὶ ἐπὶ τοσοῦτον οἱ ἀριθμοὶ γιγνωσκομένοι, ἔξεστι δὲ καὶ ἐπὶ πλέον*

4 *προάγειν. ἔστων γὰρ οἱ μὲν νῦν εἰρημένοι ἀριθμοὶ πρώτας περιόδου καλουμένοι, ὁ δὲ ἔσχατος ἀριθμὸς τᾶς πρώτας περιόδου μονὰς καλείσθω δευτέρας περιόδου πρώτων ἀριθμῶν. πάλιν δὲ καὶ αἱ μύριαι μυριάδες τᾶς δευτέρας περιόδου πρώτων ἀριθμῶν μονὰς καλείσθω τᾶς δευτέρας περιόδου δευτέρων ἀριθμῶν. ὁμοίως δὲ καὶ τούτων ὁ ἔσχατος μονὰς καλείσθω δευτέρας περιόδου τρίτων ἀριθμῶν, καὶ ἀεὶ οὕτως οἱ ἀριθμοὶ προάγοντες τὰ ὀνόματα ἐχόντων τᾶς δευτέρας περιόδου ἐς τὰς μυριακισμυριοστῶν ἀριθμῶν μυρίας μυριάδας. πάλιν δὲ καὶ ὁ ἔσχατος ἀριθμὸς τᾶς δευτέρας περιόδου μονὰς καλείσθω τρίτας περιόδου πρώτων ἀριθμῶν, καὶ ἀεὶ οὕτως προαγόντων ἐς τὰς μυριακισμυριοστᾶς περιόδου μυριακισμυριοστῶν ἀριθμῶν μυ-*

---

1 *ἐκ τᾶν*] scripsi, *εκατον* A, *αἱ ἀπὸ τῶν* G, *ἀπὸ τᾶν* *Wallis*.
2 *ἐς τὰς*] *Wallis*, *εσται* A, *ἔστε* G. *μυρίας μυριάδας*] *Wallis*,

et hecatontades et chiliades et myriades ad decem millia
myriadum. rursus autem decem millia myriadum secun-
dorum numerorum ipsa quoque unitas uocetur tertiorum
numerorum, et numerentur tertiorum numerorum unitates
et ab unitatibus decades et hecatontades et chiliades et my-
riades ad decem millia myriadum. et eodem modo etiam 3
tertiorum numerorum decem millia myriadum unitas uocetur
quartorum numerorum, et quartorum numerorum decem
millia myriadum unitas uocetur quintorum numerorum,
semperque hoc modo procedentes numeri nominentur usque
ad decem millia myriadum numerorum centies millies mille-
simorum. et satis quidem est, numeros hunc ad finem co-
gnosci, sed licet etiam ultra progredi. nam numeri, quos ad- 4
huc commemorauimus, primae periodi numeri uocentur, et
ultimus numerus primae periodi unitas uocetur primorum
numerorum secundae periodi. rursus autem decem millia
myriadum primorum numerorum secundae periodi ipsa quo-
que unitas uocetur secundorum numerorum secundae pe-
riodi. et eodem modo etiam horum ultimus unitas uocetur
tertiorum numerorum secundae periodi, semperque hoc modo
procedentes numeri periodi secundae nominentur usque ad
decem millia myriadum numerorum centies millies mille-
simorum. rursus autem ultimus numerus secundae periodi
ipse quoque unitas uocetur primorum numerorum tertiae
periodi, semperque hoc modo procedant usque ad decem
millia myriadum numerorum centies millies millesimorum

μυριων μυριαδων A. 5 *ἀριθμείσθων*] scripsi, *αριθμεισθω* A. *ἀπὸ*] scripsi, *αι απο* A. 7 *ἐς τὰς*] *Wallis*, *εσται* A, *ἔστε* G. *μυρίας μυριάδας*] *Wallis*, *μυριαν μυριαδες* A. 12 *ἐχόντων*] *Wallis*, *εχοντες* A. *ἐς τὰς*] *Wallis*, *εσται* A. 13 *μυρίας μυριάδας*] *Wallis*, *μυριαι μυριαδες* A. *ἀποχρέοντι*] EG, *αποχρεωντι* A. *ἐπὶ τοσοῦτον*] scripsi, *απο τοσουτων* A. 17 *πρώτας*] G, om. A. 19 *πρώτων* — 20 *περιόδου*] *Wallis*, om. A. 24 *ἐς τὰς*] *Wallis*, *εσται* A. *μυρίας μυριάδας*] *Wallis*, *μυριαι μυριαδες* A. 27 *ἐς τὰς*] *Wallis*, *εσται* A. 28 *μυρίας μυριάδας*] *Wallis*, *μυριαι μυριαδες* A.

5 ρίας μυριάδας. τούτων δὲ οὕτως κατωνομασμένων, εἴ κα ἔωντι ἀριθμοὶ ἀπὸ μονάδος ἀνάλογον ἑξῆς κειμένοι, ὁ δὲ παρὰ τὰν μονάδα δεκὰς ᾖ, ὀκτὼ μὲν αὐτῶν οἱ πρῶτοι σὺν τᾷ μονάδι τῶν πρώτων ἀριθμῶν καλουμένων ἐσσοῦνται, οἱ δὲ μετ' αὐτοὺς ἄλλοι ὀκτὼ τῶν δευτέρων καλουμένων, καὶ οἱ ἄλλοι τὸν αὐτὸν τρόπον τούτοις τῶν συνωνύμων καλουμένων ἐσσοῦνται τᾷ ἀποστάσει τᾶς ὀκτάδος τῶν ἀριθμῶν ἀπὸ τᾶς πρώτας ὀκτάδος τῶν ἀριθμῶν. τᾶς μὲν οὖν πρώτας ὀκτάδος τῶν ἀριθμῶν ὁ ὄγδοός ἐστιν ἀριθμὸς χίλιαι μυριάδες, τᾶς δὲ δευτέρας ὀκτάδος ὁ πρῶτος, ἐπεὶ δεκαπλασίων ἐστὶν τοῦ πρὸ αὐτοῦ, μύριαι μυριάδες ἐσσεῖται· οὗτος δέ ἐστι μονὰς τῶν δευτέρων ἀριθμῶν. ὁ δὲ ὄγδοος τᾶς δευτέρας ὀκτάδος ἐστὶ χίλιαι μυριάδες τῶν δευτέρων ἀριθμῶν. πάλιν δὲ καὶ τᾶς τρίτας ὀκτάδος ὁ πρῶτος, ἐπεὶ δεκαπλασίων ἐστὶ τοῦ πρὸ αὐτοῦ, μύριαι μυριάδες ἐσσεῖται τῶν δευτέρων ἀριθμῶν· οὗτος δέ ἐστιν μονὰς τῶν τρίτων ἀριθμῶν. φανερὸν δέ, ὅτι καὶ
6 πολλοσταὶ ὀκτάδες ἑξοῦντι, ὡς εἴρηται. χρήσιμον δέ ἐστι καὶ τόδε γιγνωσκόμενον. εἴ κα ἀριθμῶν ἀπὸ τᾶς μονάδος ἀνάλογον ἐόντων πολλαπλασιάζωντί τινες ἀλλάλους τῶν ἐκ τᾶς αὐτᾶς ἀναλογίας, ὁ γενόμενος ἐσσεῖται ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἀπέχων ἀπὸ μὲν τοῦ μείζονος τῶν πολλαπλασιαξάντων ἀλλάλους, ὅσους ὁ ἐλάττων τῶν πολλαπλασιαξάντων ἀπὸ μονάδος ἀνάλογον ἀπέχει, ἀπὸ δὲ τᾶς μονάδος ἀφέξει ἑνὶ ἐλάττονας, ἢ ὅσος ἐστὶν ὁ ἀριθμὸς συναμφοτέρων, οὓς ἀπέχοντι ἀπὸ μο-
7 νάδος οἱ πολλαπλασιάξαντες ἀλλάλους. ἔστων γὰρ ἀριθμοί τινες ἀνάλογον ἀπὸ μονάδος οἱ *Α*, *Β*, *Γ*, *Δ*,

3 μὲν] scripsi, ειεν A. 6 καλουμένων] *Wallis*, καλουμενοι A. 7 τᾷ] addidi, om. A. 9 τᾶς] G, α A. 18 ὅτι] *Basil.*,

periodi centies millies millesimae.[1]) his autem ita denominatis, si numeri aliquot dati sunt ab unitate in eadem proportione, et numerus unitati proximus decas est, octo eorum primi cum unitate ex numeris primis, qui uocantur, erunt, octo autem eos proxime sequentes ex secundis, et ceteri eodem modo ex numeris erunt eodem numero denominatis, qui distantiam octadis numerorum a prima octade indicat. primae igitur octadis numerorum octauus numerus est mille myriades, secundae autem octadis primus, quoniam aequalis est praecedenti decies sumpto, decem millia myriadum erunt, et haec unitas est secundorum numerorum. octauus autem numerus secundae octadis mille myriades sunt secundorum numerorum. rursus autem etiam tertiae octadis primus numerus, quoniam aequalis est praecedenti decies sumpto, decem millia myriadum erunt secundorum numerorum, et haec unitas est tertiorum numerorum. et manifestum est, quotlibet octades ita se habituras esse, ut dictum est. uerum 6
hoc quoque utile est cognitu. si numeris ab unitate in eadem proportione positis aliqui inter se multiplicantur eorum, qui in eadem proportione sunt, productum in eadem erit proportione a maiore multiplicatorum tot numeros distans, quot minor multiplicatorum ab unitate distat in proportione, ab unitate uero distabit uno pauciores, quam quantus numerus est utrorumque, quos numeri inter se multiplicati ab unitate distant. sint enim numeri aliquot *A*, *B*, *Γ*, *Δ*, *E*, *Z*, *H*, *Θ*, *I*, *K*, *Λ* 7

5

1) Conspectus horum numerorum systematis u. Quaest. Arch. p. 59; cfr. Nizzius p. 218 et Nesselmann, Algebra d. Griechen p. 122 sq. ultimus est $10^{8 \cdot 10^{16}}$.

εστι A, *ἔστιν ὅτι* G. 19 *πολλοσταὶ*] scripsi, *πολλαι* A. 21 *ἐόντων*] EG, *εωντων* A. *πολλαπλασιάζωντί*] scripsi, *πολλαπλασιαζοντες* A. 22 *ὁ γενόμενος*] *Wallis*, *οταν ομοιως* A. 23 *μὲν τοῦ μείζονος*] scripsi, *μεν ουν* A, *μείζονος* *Wallis*. 25 *ἀπέχει*] E, *απεχη* A. 27 *ὁ*] addidi, om. A. *οὓς*] *Wallis*, *ως* A. *ἀπέχοντι*] E, *απεχωντι* A. 29 *μονάδος*] GH, *μαδος* A.

E, *Z*, *H*, *Θ*, *I*, *K*, *Λ*, μονὰς δὲ ἔστω ὁ *A*, καὶ πεπολλαπλασιάσθω ὁ *Δ* τῷ *Θ*, ὁ δὲ γενόμενος ἔστω ὁ *X*. λελάφθω δὴ ἐκ τᾶς ἀναλογίας ὁ *Λ* ἀπέχων ἀπὸ τοῦ *Θ* τοσούτους, ὅσους ὁ *Δ* ἀπὸ μονάδος ἀπέχει· δεικτέον, ὅτι ἴσος ἐστὶν ὁ *X* τῷ *Λ*. ἐπεὶ οὖν ἀνάλογον ἐόντων ἀριθμῶν ἴσους ἀπέχει ὅ τε *Δ* ἀπὸ τοῦ *A* καὶ ὁ *Λ* ἀπὸ τοῦ *Θ*, τὸν αὐτὸν ἔχει λόγον ὁ *Δ* ποτὶ τὸν *A*, ὃν ὁ *Λ* ποτὶ τὸν *Θ*. πολλαπλασίων δέ ἐστιν ὁ *Δ* τοῦ *A* τῷ *Δ*· πολλαπλασίων ἄρα ἐστὶν καὶ ὁ *Λ* τοῦ *Θ* τῷ
8 *Δ*· ὥστε ἴσος ἐστὶν ὁ *Λ* τῷ *X*. δῆλον οὖν, ὅτι ὁ γενόμενος ἐκ τᾶς ἀναλογίας τέ ἐστιν καὶ ἀπὸ τοῦ μείζονος τῶν πολλαπλασιαξάντων ἀλλάλους ἴσους ἀπέχων, ὅσους ὁ ἐλάττων ἀπὸ τᾶς μονάδος ἀπέχει. φανερὸν δέ, ὅτι καὶ ἀπὸ μονάδος ἀπέχει ἑνὶ ἐλάττονας, ἢ ὅσος ἐστὶν ὁ ἀριθμὸς συναμφοτέρων, οὓς ἀπέχοντι ἀπὸ τᾶς μονάδος οἱ *Δ*, *Θ*· οἱ μὲν γὰρ *A*, *B*, *Γ*, *Δ*, *E*, *Z*, *H*, *Θ* τοσοῦτοι ἐντί, ὅσους ὁ *Θ* ἀπὸ μονάδος ἀπέχει, οἱ δὲ *I*, *K*, *Λ* ἑνὶ ἐλάττονες, ἢ ὅσους ὁ *Δ* ἀπὸ μονάδος ἀπέχει· σὺν γὰρ τῷ *Θ* τοσοῦτοι ἐντί.

1 IV. Τούτων δὲ τῶν μὲν ὑποκειμένων, τῶν δὲ ἀποδεδειγμένων, τὸ προκείμενον δειχθήσεται. ἐπεὶ γὰρ ὑπόκειται τὰν διάμετρον τᾶς μάκωνος μὴ ἐλάσσονα εἶμεν ἢ τετρωκοστομόριον δακτύλου, δῆλον, ὡς ἁ σφαῖρα ἁ δακτυλιαίαν ἔχουσα τὰν διάμετρον οὐ μείζων ἐστὶν ἢ ὥστε χωρεῖν μάκωνας ἑξακισμυρίας καὶ τετρακισχιλίας· τᾶς γὰρ σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον τετρωκοστομόριον δακτύλου πολλαπλασία ἐστὶν τῷ εἰρη-

2 *X*. λελάφθω] scripsi, *XΛ* ειληφθω A, *X* εἰλήφθω *Wallis*. 3 ἐκ] scripsi, ο *Θ*K A, ὁ ἐκ *Wallis*. τᾶς] A, τᾶς αὐτᾶς *Wallis*. *Λ*] *Wallis*, *ΦΛ* A. 4 μονάδος] GH, μαδος A. 6 ἀριθμῶν] scripsi, ισων A. 7 τὸν αὐτὸν] GH, ταν αυταν A. 11 τᾶς]

ab unitate in eadem proportione positi, unitas autem sit A, et multiplicentur Δ, Θ, et productum sit X. sumatur igitur ex proportione Λ ab Θ tot numeros distans, quot Δ ab unitate distat; demonstrandum, esse $X = \Lambda$. iam quoniam in numeris inter se proportionalibus Δ ab A tot loca abest, quot Λ ab Θ, erit $\Delta : A = \Lambda : \Theta$. sed $\Delta = \Delta \times A$; quare

$$\Lambda = \Delta \times \Theta;$$

itaque $\Lambda = X$. adparet igitur, productum et ex eadem pro- 8
portione esse et a maiore numerorum inter se multiplicatorum tot loca abesse, quot minor ab unitate absit. manifestum est autem, productum etiam ab unitate uno pauciora loca abesse, quam quantus est numerus utrorumque locorum, quae ab unitate absunt Δ, Θ; nam $A, B, \Gamma, \Delta, E, Z, H, \Theta$ tot sunt, quot Θ ab unitate abest, et I, K, Λ uno pauciores, quam quot Δ ab unitate abest; nam adsumpto Θ totidem sunt.[1])

IV. His autem partim suppositis, partim demonstratis, 1
propositum demonstrabitur. nam quoniam suppositum est, diametrum seminis papaueris non minorem esse quam partem quadragesimam digiti [II, 4], adparet, sphaeram diametrum digitalem habentem maiorem non esse, quam ut 64000 seminum papaueris capiat; hoc enim numero multiplex est quam sphaera diametrum habens partem quadra-

1) De hac propositione cfr. Quaest. Arch. p. 58. nos sic idem demonstraremus: sit series $\overset{1}{1}, \overset{2}{a^1}, \overset{3}{a^2}, \dots \overset{n}{a^{n-1}}$,

$$\overset{n+1}{a^n} \dots \overset{m+1}{a^m}, \overset{m+2}{a^{m+1}}, \dots \overset{m+n+1}{a^{m+n}}.$$

itaque $a^n \cdot a^m = a^{m+n}$, quod ab a^m abest loca $(n+1)$, ab unitate uero $m + n + 1 = (m+1) + (n+1) \div 1$.

A, τᾶς αὐτᾶς *Wallis*. 12 ἴσους] scripsi, ισον A. 16 οἱ Δ, Θ· οἱ μὲν γάρ] scripsi, οιδε μεν γαρ οι A. 18 ἐνί] G, επι A. 19 spatium uac. A. 24 ἁ] addidi, om. A. 26 τετρωκοστομόριον] *Ahrens*, τετρακοστομοριον A.

μένῳ ἀριθμῷ· δέδεικται γάρ τοι, ὅτι αἱ σφαῖραι τριπλάσιον λόγον ἔχοντι ποτὶ ἀλλάλας τᾶν διαμέτρων.

2 *ἐπεὶ δὲ ὑπόκειται καὶ τοῦ ψάμμου τὸν ἀριθμὸν τοῦ εἰς τὸ τᾶς μάκωνος μέγεθος μὴ μείζονα εἶμεν μυρίων, δῆλον, ὡς, εἰ πληρωθείη ψάμμου ἁ σφαῖρα ἁ δακτυλιαίαν ἔχουσα τὰν διάμετρον, οὐ μείζων κα εἴη ὁ ἀριθμὸς τοῦ ψάμμου ἢ μυριάκις τὰ ἑξακισμύρια καὶ τετρακισχίλια. οὗτος δέ ἐστιν ὁ ἀριθμὸς μονάδες τε ϛ̄ τῶν δευτέρων ἀριθμῶν καὶ τῶν πρώτων μυριάδες τετρακισχίλιαι· ἐλάσσων οὖν ἐστιν ἢ ῑ μονάδες τῶν δευτέρων ἀριθμῶν. ἁ δὲ τῶν ρ̄ δακτύλων ἔχουσα τὰν διάμετρον σφαῖρα πολλαπλασία ἐστὶν τᾶς δακτυλιαίαν ἐχούσας τὰν διάμετρον σφαίρας ταῖς ρ̄ μυριάδεσσιν διὰ τὸ τριπλάσιον λόγον ἔχειν ποτ' ἀλλάλας τᾶν διαμέτρων τὰς σφαίρας. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον δακτύλων ρ̄, δῆλον, ὡς ἐλάττων ἐσσεῖται ὁ τοῦ ψάμμου ἀριθμὸς τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν δέκα μονάδων τῶν δευτέρων*
3 *ἀριθμῶν ταῖς ρ̄ μυριάδεσσιν. ἐπεὶ δ' αἱ τῶν δευτέρων ἀριθμῶν δέκα μονάδες δέκατός ἐστιν ἀριθμὸς ἀπὸ μονάδος ἀνάλογον ἐν τᾷ τῶν δεκαπλασίων ὅρων ἀναλογίᾳ, αἱ δὲ ἑκατὸν μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὡς ὁ γενόμενος ἀριθμὸς ἐσσεῖται τῶν ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἑκκαιδέκατος ἀπὸ μονάδος· δέδεικται γάρ, ὅτι ἑνὶ ἐλάσσονας ἀπέχει ἀπὸ τᾶς μονάδος, ἢ ὅσος ἐστὶν ὁ ἀριθμὸς συναμφοτέρων, οὓς ἀπέχοντι ἀπὸ μονάδος οἱ πολλαπλασιάξαντες ἀλλάλους. τῶν δὲ ἑκκαίδεκα τούτων ὀκτὼ*

---

2 *ἔχοντι*] E, *εχωντι* A. 3 *τοῦ* (alt.)] addidi, om. A. 4 *μάκωνος*] GH, *μακονος* A. *μείζονα*] *Wallis*, *μειζον* A. 6 *μεί-*

gesimam digiti; nam demonstratum est, sphaeras triplicem inter se rationem habere quam diametros [Eucl. XII, 18]. quoniam autem hoc quoque suppositum est, numerum are- 2
nae magnitudinem habentis seminis papaueris maiorem non esse quam 10000 [II, 4], adparet, si sphaera diametrum habens digitalem arena compleatur, numerum arenae maiorem non fore quam 64000000. hic autem numerus est sex unitates secundorum numerorum et quattuor millia myriadum primorum; minor igitur est quam decem unitates secundorum numerorum. sphaera autem diametrum habens centum digitos longam centum myriadibus multiplex est quam sphaera diametrum digitalem habens, quia sphaerae inter se triplicem rationem habent quam diametri [Eucl. XII, 18]. si igitur ex arena tanta sphaera efficitur, quanta est sphaera diametrum habens centum digitos longam, adparet, numerum arenae minorem fore numero ex multiplicatis decem unitatibus secundorum numerorum et centum myriadibus orto. et quo- 3
niam decem unitates secundorum numerorum decimus ab unitate numerus est in proportione terminorum per decem crescentium, centum autem myriades septimus est ab unitate in eadem proportione, adparet, productum sextum decimum ab unitate fore in eadem proportione; demonstratum est enim, id uno pauciora loca ab unitate abesse, quam quantus sit numerus utrorumque locorum, quae numeri inter se multiplicati ab unitate absint [III, 6]. horum autem se-

---

ζων] *Wallis*, μειζον A. εἴη] *Wallis*, ιν A. **10** μονάδες] *Riualtus*, μυριαδες A. **13** τὰν] GH, των A. σφαίρας] scripsi, εφη A. μυριάδεσσιν] GH, μυριαδεσιν A. **14** διαμέτρων] *Wallis*, διαμετρον A. **19** πολλαπλασιασθεισᾶν] GH, πολλαπλασθεισαν A. **20** μυριάδεσσιν] GH, μυριαδεσιν A. ἐπεὶ] *Wallis*, επι A. δ' αἱ] *Gertz*, δε A. **22** τᾷ] *Wallis*, τε A. δεκαπλασίων] scripsi praeeunte *Wallisio*, δεκαπλεύρων A; cfr. Quaest. Arch. p. 205. ἀναλογίᾳ] *Wallis*, αναλογον A. **24** ἀριθμὸς] scripsi, εκτος A. **26** ἐνὶ] *Riualtus*, εν A. **27** ἀπέχει] addidi praeeunte *Wallisio*, om. A. ἦ ὅσος] *Wallis*, ασσος A, ἅ ὅσος G(H). ὁ ἀριθμὸς] *Wallis*, ελαττων A. συναμφοτέρων] *Wallis*, συναμφο δε A. **28** ἀπέχοντι] EG, απεχωντι A.

μὲν οἱ πρώτοι σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, οἱ δὲ μετὰ τούτους ὀκτὼ τῶν δευτέρων, καὶ ὁ ἔσχατός ἐστιν αὐτῶν χίλιαι μυριάδες δευτέρων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τοῦ ψάμμου τὸ πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ρ̄ δακτύλων ἐχούσᾳ ἔλαττόν ἐστιν ἢ χίλιαι μυριάδες τῶν

4 δευτέρων ἀριθμῶν. πάλιν δὲ καὶ ἁ σφαῖρα ἁ τῶν μυρίων δακτύλων ἔχουσα τὰν διάμετρον πολλαπλασία ἐστὶν τᾶς ἐχούσας τὰν διάμετρον ρ̄ δακτύλων ταῖς ρ̄ μυριάδεσσιν. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ ἔχουσα σφαῖρα τὰν διάμετρον μυρίων δακτύλων, δῆλον, ὡς ἐλάσσων ἐσσεῖται ὁ τοῦ ψάμμου ἀριθμὸς τοῦ γενομένου πολλαπλασιασθεισᾶν τᾶν χιλιᾶν μυριάδων τῶν δευτέρων ἀριθμῶν ταῖς ρ̄ μυρ[ι]άδεσσιν. ἐπεὶ δ' αἱ μὲν τῶν δευτέρων ἀριθμῶν χίλιαι μυριάδες ἑκκαιδέκατός ἐστιν ἀριθμὸς ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ ρ̄ μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐν τᾷ αὐτᾷ ἀναλογίᾳ, δῆλον, ὡς ὁ γενόμενος ἐσσεῖται δυοκαιεικοστὸς τῶν ἐκ τᾶς αὐτᾶς ἀνα-

5 λογίας ἀπὸ μονάδος. τῶν δὲ δύο καὶ εἴκοσι τούτων ὀκτὼ μὲν οἱ πρώτοι σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, ὀκτὼ δὲ οἱ μετὰ τούτους τῶν δευτέρων καλουμένων, οἱ δὲ λοιποὶ ἓξ τῶν τρίτων καλουμένων, καὶ ὁ ἔσχατος αὐτῶν ἐστι δέκα μυριάδες τῶν τρίτων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ μυρίων δακτύλων ἔλασσόν ἐστιν ἢ ῑ μυριάδες τρίτων ἀριθμῶν. καὶ ἐπεὶ ἐλάσσων ἐστὶν ἁ σταδιαίαν ἔχουσα τὰν διάμετρον σφαῖρα τᾶς σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον μυρίων δακτύλων, δῆλον, ὅτι καὶ τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ

decim primi octo cum unitate ii sunt, qui primi uocantur,
octo uero sequentes ii, qui secundi uocantur, et ultimus
eorum est mille myriades secundorum numerorum. mani-
festum est igitur, multitudinem arenae magnitudinem ha-
bentis aequalem sphaerae diametrum centum digitos longam
habenti minorem esse quam mille myriades secundorum nu-
merorum. rursus autem etiam sphaera diametrum decem 4
millia digitorum longam habens centum myriadibus multi-
plex est quam sphaera diametrum centum digitos longam
habens. si igitur ex arena tanta sphaera efficitur, quanta
est sphaera diametrum decem millia digitorum longam ha-
bens, adparet, numerum arenae minorem fore numero ex mul-
tiplicatis mille myriadibus secundorum numerorum et centum
myriadibus orto. et quoniam mille myriades secundorum nu-
merorum sextus decimus ab unitate numerus est in propor-
tione, et centum myriades septimus est ab unitate in eadem
proportione, adparet, productum uicesimum secundum ab uni-
tate fore in eadem proportione [III, 6]. horum autem uiginti 5
duorum primi octo cum unitate ii sunt, qui primi uocantur,
octo autem sequentes ii, qui secundi uocantur, reliqui autem
sex ex iis, qui tertii uocantur, et ultimus eorum est centum
millia tertiorum numerorum. manifestum est igitur, multi-
tudinem arenae magnitudinem habentis aequalem sphaerae
diametrum habenti decem millia digitorum longam minorem
esse quam centum millia tertiorum numerorum. et quoniam
sphaera diametrum habens stadium longam minor est sphaera
diametrum habenti decem millia digitorum longam,[1]) ad-
paret, etiam multitudinem arenae magnitudinem habentis

1) Hero, Defin. 131: *τὸ στάδιον ἔχει . . . δακτύλους ͵θχ̄.*

---

3 *δευτέρων*] A, *τῶν δευτέρων Wallis.* 5 *τὰν*] *Wallis*, *τε ταν* A. 6 *ἔλαττόν*] *Wallis*, *ελαττων* A. 10 *μυριάδεσσιν*] *μυριαδεσι* A, *μυριάδεσσι* G, *μυριάδεσιν* E. 17 *ἀνάλογον, αἱ*] *Wallis*, *αναλογιαι* A. 22 *μετὰ τούτους*] scripsi, *μετα τους* A, *μετ' αὐτοὺς Wallis.* *τῶν*] addidi, om. A. 23 *ἕξ*] *Wallis*, *εκ* A. *τρίτων*] G, *τριων* A. 26 *μέγεθος*] G, *μεγεθους* A.

σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδιαίαν ἔλασσόν
6 ἐστιν ἢ ι̅ μυριάδες τῶν τρίτων ἀριθμῶν. πάλιν δὴ ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον ρ̅ σταδίων πολλαπλασίων ἐστὶ τᾶς σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον σταδιαίαν ταῖς ρ̅ μυριάδεσσιν. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ ἔχουσα τὰν διάμετρον ρ̅ σταδίων, δῆλον, ὅτι ἐλάσσων ἐσσεῖται ὁ τοῦ ψάμμου ἀριθμὸς τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν δέκα μυριάδων τρίτων ἀριθμῶν ταῖς ρ̅ μυριάδεσσι. καὶ ἐπεὶ αἱ μὲν τῶν τρίτων ἀριθμῶν δέκα μυριάδες δυοκαιεικοστός ἐστιν ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ ρ̅ μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὡς ὁ γενόμενος ἐσσεῖται ὀκτωκαιεικοστὸς ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἀπὸ
7 μονάδος. τῶν δὲ ὀκτὼ καὶ εἴκοσι τούτων ὀκτὼ μὲν οἱ πρῶτοι σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, οἱ δὲ μετὰ τούτους ἄλλοι ὀκτὼ τῶν δευτέρων, καὶ οἱ μετὰ τούτους ὀκτὼ τῶν τρίτων, οἱ δὲ λοιποὶ τέσσαρες τῶν τετάρτων καλουμένων, καὶ ὁ ἔσχατος αὐτῶν ἐστι χίλιαι μονάδες τῶν τετάρτων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδίων ρ̅ ἔλασσόν ἐστιν ἢ χίλιαι μονάδες τῶν τετάρτων ἀριθμῶν.
8 πάλιν δὴ ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον μυρίων σταδίων πολλαπλασία ἐστὶ τᾶς σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον σταδίων ρ̅ ταῖς ρ̅ μυριάδεσσιν. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον σταδίων μυρίων, δῆλον, ὅτι ἔλασσον ἐσσεῖται τὸ τοῦ ψάμμου πλῆθος τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν χιλιᾶν μονάδων τῶν τετάρτων ἀριθμῶν ταῖς ρ̅

aequalem sphaerae diametrum habenti stadium longam mi-
norem esse quam centum millia tertiorum numerorum. rursus 6
igitur sphaera diametrum centum stadia longam habens
centum myriadibus multiplex est quam sphaera diametrum
stadium longam habens. si igitur ex arena tanta sphaera
efficitur, quanta est sphaera diametrum centum stadia longam
habens, adparet, numerum arenae minorem fore numero ex
multiplicatis decem myriadibus tertiorum numerorum et cen-
tum myriadibus orto. et quoniam decem myriades tertio-
rum numerorum uicesimus secundus ab unitate numerus est
in proportione, et centum myriades septimus est ab unitate
in eadem proportione, adparet, productum fore duodetricesi-
mum ab unitate in eadem proportione [III, 6]. horum autem 7
uiginti octo primi octo cum unitate ii sunt, qui primi uocan-
tur, octo sequentes ii, qui secundi uocantur, octo deinde se-
quentes ii, qui tertii uocantur, reliqui autem quattuor ex iis,
qui quarti uocantur, et ultimus eorum mille unitates sunt
quartorum numerorum. manifestum est igitur, multitudinem
arenae magnitudinem habentis aequalem sphaerae diametrum
habenti centum stadia longam minorem esse quam mille
unitates quartorum numerorum. rursus igitur sphaera dia- 8
metrum decem millia stadiorum longam habens centum my-
riadibus multiplex est quam sphaera diametrum centum
stadia longam habens. si igitur ex arena tanta sphaera effi-
citur, quanta est sphaera diametrum decem millia stadiorum
longam habens, adparet, numerum arenae minorem fore nu-
mero ex multiplicatis mille unitatibus quartorum numerorum
et centum myriadibus orto. et quoniam mille unitates quar-

---

5 *μυριάδεσσιν*] *μυριάδεσσι* G, *μυριαδεσιν* A. 6 *ά*] *Wallis*, om. A. 10 *μυριάδεσσι*] D, *μυριαδεσι* A. 26 *μυριάδεσσιν*] *μυριάδεσσι* G, *μυριαδεσιν* A. 28 *διάμετρον*] GH, *διαμετρων* A. 29 *ἔλασσον*] EH, e corr. G, *ελασσων* A.

μυριάδεσσιν. ἐπεὶ δ' αἱ μὲν τῶν τετάρτων ἀριθμῶν χίλιαι μονάδες ὀκτωκαιεικοστός ἐστιν ἀπὸ μονάδος ἀνάλογον, αἱ δ' ἑκατὸν μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὅτι ὁ γενόμενος ἐσσεῖται ἐκ τᾶς αὐτᾶς ἀναλογίας τέταρτος καὶ τριακοστὸς
9 *ἀπὸ μονάδος. τῶν δὲ τεσσάρων καὶ τριάκοντα τούτων ὀκτὼ μὲν οἱ πρῶτοι σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, οἱ δὲ μετὰ τούτους ὀκτὼ τῶν δευτέρων, καὶ οἱ μετὰ τούτους ἄλλοι ὀκτὼ τῶν τρίτων, καὶ οἱ μετὰ τούτους ὀκτὼ τῶν τετάρτων, οἱ δὲ λοιποὶ δύο τῶν πέμπτων καλουμένων ἐσσοῦνται, καὶ ὁ ἔσχατος αὐτῶν ἐστι δέκα μονάδες τῶν πέμπτων ἀριθμῶν. δῆλον οὖν, ὅτι τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδίων μυρίων ἔλασσον ἐσσεῖται ἢ $\bar{\iota}$ μονάδες τῶν πέμπτων ἀριθ-*
10 *μῶν. πάλιν δὴ ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον σταδίων $\bar{\varrho}$ μυριάδων πολλαπλασία ἐστὶ τᾶς σφαίρας τᾶς τὰν διάμετρον ἐχούσας σταδίων μυρίων ταῖς $\bar{\varrho}$ μυριάδεσσιν. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον σταδίων $\bar{\varrho}$ μυριάδων, δῆλον, ὡς ἐλάσσων ἐσσεῖται ὁ τοῦ ψάμμου ἀριθμὸς τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν δέκα μονάδων τῶν πέμπτων ἀριθμῶν ταῖς $\bar{\varrho}$ μυριάδεσσιν. καὶ ἐπεὶ αἱ μὲν τῶν πέμπτων ἀριθμῶν δέκα μονάδες τέταρτός ἐστι καὶ τριακοστὸς ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ $\bar{\varrho}$ μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὅτι ὁ γενόμενος ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἐσσεῖται τε-*
11 *τρωκοστὸς ἀπὸ μονάδος. τῶν δὲ τεσσαράκοντα τούτων ὀκτὼ μὲν οἱ πρῶτοι σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, οἱ δὲ μετὰ ταῦτα ἄλλοι ὀκτὼ τῶν δευ-*

torum numerorum duodetricesimus est ab unitate numerus
in proportione, et centum myriades septimus ab unitate in
eadem proportione, adparet, productum fore tricesimum quar-
tum ab unitate in eadem proportione [III, 6]. horum autem 9
triginta quattuor primi octo cum unitate ii sunt, qui primi
uocantur, octo sequentes ii, qui secundi, octo deinde sequentes
ii, qui tertii, octo deinde sequentes ii, qui quarti uocantur,
reliqui autem duo ex iis erunt, qui quinti uocantur, et ulti-
mus eorum est decem unitates quintorum numerorum. ad-
paret igitur, multitudinem arenae magnitudinem habentis
aequalem sphaerae diametrum habenti decem millia stadio-
rum longam minorem fore quam decem unitates quintorum
numerorum. rursus igitur sphaera diametrum centum my- 10
riades stadiorum longam habens centum myriadibus multi-
plex est quam sphaera diametrum habens decem millia sta-
diorum longam. si igitur ex arena tanta sphaera efficitur,
quanta est sphaera diametrum centum myriades stadiorum
longam habens, adparet, numerum arenae minorem fore nu-
mero ex multiplicatis decem unitatibus quintorum numero-
rum et centum myriadibus orto. et quoniam decem unitates
quintorum numerorum tricesimus quartus est ab unitate nu-
merus in proportione, et centum myriades septimus ab uni-
tate in eadem proportione, adparet, productum fore quadra-
gesimum ab unitate in eadem proportione [III, 6]. horum 11
autem quadraginta primi octo cum unitate ii sunt, qui primi
uocantur, octo sequentes ii, qui secundi, octo deinde sequentes
ii, qui tertii, octo deinde sequentes ii, qui quarti, postremi

1 *μυριάδεσσιν*] G, *μυριαδεσιν* A. 9 *ἄλλοι*] *Basil.*, *οι αλλοι* A. 12 *μονάδες*] G, *μοναδων* A. 13 *μέγεθος*] GH, *μεγεθους* A. 15 *ἔλασσον*] G, *ελασσων* A. 17 *μυριάδων*] *Basil.*, *μυριαδας* A. *τᾶς* (alt.)] addidi, om. A. 30 *καλουμένων*] EG, e corr. D, *καμενων* A. 31 *ταῦτα*] A, *τούτους* *Wallis*.

τέρων, καὶ οἱ μετὰ τούτους ἄλλοι ὀκτὼ τῶν τρίτων, οἱ δὲ μετὰ τοὺς τρίτους ὀκτὼ τῶν τετάρτων, οἱ δὲ μετὰ τούτους ὀκτὼ τῶν πέμπτων καλουμένων, καὶ ὁ ἔσχατος αὐτῶν ἐστι χίλιαι μυριάδες τῶν πέμπτων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τοῦ ψάμμου τὸ πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδίων ρ̄ μυριάδων ἔλασσόν ἐστιν ἢ χίλιαι
12 *μυριάδες τῶν πέμπτων ἀριθμῶν. ἁ δὲ τὰν διάμετρον ἔχουσα σφαῖρα σταδίων μυριᾶν μυριάδων πολλαπλασίων ἐστὶ τᾶς σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον σταδίων ρ̄ μυριάδων ταῖς ρ̄ μυριάδεσσιν. εἰ δὴ γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον σταδίων μυριᾶν μυριάδων, φανερόν, ὅτι ἔλασσον ἐσσεῖται τὸ τοῦ ψάμμου πλῆθος τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν χιλιᾶν μυριάδων τῶν πέμπτων ἀριθμῶν ταῖς ρ̄ μυριάδεσσιν. ἐπεὶ δ' αἱ μὲν τῶν πέμπτων ἀριθμῶν χίλιαι μυριάδες τετρωκοστός ἐστιν ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ ρ̄ μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὡς ὁ γενόμενος ἐσσεῖται*
18 *ἕκτος καὶ τετρωκοστὸς ἀπὸ μονάδος. τῶν δὲ τεσσαράκοντα καὶ ἓξ τούτων ὀκτὼ μὲν οἱ πρῶτοι σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, ὀκτὼ δὲ οἱ μετὰ τούτους τῶν δευτέρων, καὶ οἱ μετὰ τούτους ἄλλοι ὀκτὼ τῶν τρίτων, οἱ δὲ μετὰ τοὺς τρίτους ἄλλοι ὀκτὼ τῶν τετάρτων, καὶ οἱ μετὰ τοὺς τετάρτους ὀκτὼ τῶν πέμπτων, οἱ δὲ λοιποὶ ἓξ τῶν ἕκτων καλουμένων ἐντί, καὶ ὁ ἔσχατος αὐτῶν ἐστι ῑ μυριάδες τῶν ἕκτων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδίων μυριάδων μυριᾶν ἔλασσόν ἐστιν ἢ ῑ μυριάδες*

octo ii, qui quinti uocantur, et ultimus eorum est mille my-
riades quintorum numerorum. manifestum est igitur, nume-
rum arenae magnitudinem habentis aequalem sphaerae dia-
metrum habenti centum myriades stadiorum longam minorem
esse quam mille myriades quintorum numerorum. sphaera 12
autem diametrum habens decem millia myriadum stadiorum
longam centum myriadibus multiplex est quam sphaera dia-
metrum habens centum myriades stadiorum longam. si igi-
tur ex arena tanta sphaera efficitur, quanta est sphaera dia-
metrum habens decem millia myriadum stadiorum longam,
manifestum est, numerum arenae minorem fore numero ex
multiplicatis mille myriadibus quintorum numerorum et cen-
tum myriadibus orto. quoniam autem mille myriades quinto-
rum numerorum quadragesimus ab unitate numerus est in
proportione, et centum myriades septimus ab unitate in ea-
dem proportione, adparet, productum fore quadragesimum
sextum ab unitate [III, 6]. horum autem quadraginta sex primi 13
octo cum unitate ii sunt, qui primi uocantur, octo sequentes
ii, qui secundi, octo deinde sequentes ii, qui tertii, octo ter-
tios sequentes ii, qui quarti, octo quartos sequentes ii, qui
quinti uocantur, sex autem reliqui ex iis sunt, qui sexti uo-
cantur, et ultimus eorum est decem myriades sextorum nu-
merorum. manifestum est igitur, numerum arenae magni-
tudinem habentis aequalem sphaerae diametrum habenti
decem millia myriadum stadiorum longam minorem esse

---

7 *μυριάδων*] *Wallis*, *μυριαδες* A. *ἔλασσόν*] E, *ελασσων* A. 9 *σφαῖρα*] G D^2, *σφαιρας* A. *μυριᾶν*] *Wallis*, *μυριας* A. 11 *μυριάδεσσιν*] G, *μυριαδεσιν* A. *δὴ*] scripsi, *δε* A, *οὖν* *Wallis*. 13 *μυριᾶν*] *Wallis*, *μυριας* A. 14 *ἔλασσον*] GH, *ελασσων* A. 15 *πολλαπλασιασθεισᾶν*] G, *πολλαπλασιον* A. 22 *ὀκτὼ μὲν*] *Wallis*, *ειμεν* A, *οἱ μὲν ὀκτὼ* G. 24 *μετὰ τούτους*] EH, *μετα τους* A, *μετ' αὐτοὺς* *Wallis*. 27 *ἓξ*] *Wallis*, om. A, *τῶν ἓξ* G. 28 *αὐτῶν*] G, *αυτος* A. *μυριάδες*] *Wallis*, *μυριαδων* A. 31 *μυριάδων μυριᾶν*] scripsi, *μυριακις μυριαδων μυριων* A, *μυριάκις μυρίων* *Wallis*. *ἔλασσόν*] *Riualtus*, *ελασσων* A.

14 τῶν ἕκτων ἀριθμῶν. ἁ δὲ τὰν διάμετρον ἔχουσα σφαῖρα σταδίων μυριάκις μυριάδων ρ̄ πολλαπλασία ἐστὶ τᾶς σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον σταδίων μυριάδων μυριᾶν ταῖς ρ̄ μυριάδεσσιν. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον σταδίων μυριάκις μυριάδων ρ̄, φανερόν, ὅτι τὸ τοῦ ψάμμου πλῆθος ἔλασσον ἐσσεῖται τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν ῑ μυριάδων τῶν ἕκτων ἀριθμῶν ταῖς ρ̄ μυριάδεσσιν. ἐπεὶ δ' αἱ μὲν τῶν ἕκτων ἀριθμῶν δέκα μυριάδες ἕκτος καὶ τετρωκοστός ἐστιν ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ ρ̄ μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὅτι ὁ γενόμενος ἐσσεῖται δυοκαιπεντακοστὸς ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας.

15 τῶν δὲ δύο καὶ πεντήκοντα τούτων οἱ μὲν ὀκτὼ καὶ τεσσαράκοντα σὺν τᾷ μονάδι οἵ τε πρῶτοι καλουμένοι ἐντὶ καὶ οἱ δευτέροι καὶ τρίτοι καὶ τετάρτοι καὶ πέμπτοι καὶ ἕκτοι, οἱ δὲ λοιποὶ τέσσαρες τῶν ἑβδόμων καλουμένων ἐντί, καὶ ὁ ἔσχατος αὐτῶν ἐστι χίλιαι μονάδες τῶν ἑβδόμων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τοῦ ψάμμου τὸ πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδίων μυριάκις μυριάδων ρ̄ ἔλασσόν ἐστιν ἢ ͵α μονάδες τῶν ἑβδόμων ἀριθμῶν.

16 ἐπεὶ οὖν ἐδείχθη ἁ τοῦ κόσμου διάμετρος ἐλάσσων ἐοῦσα σταδίων μυριάκις μυριάδων ρ̄, δῆλον, ὅτι καὶ τοῦ ψάμμου τὸ πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τῷ κόσμῳ ἔλασσόν ἐστιν ἢ ͵α μονάδες τῶν ἑβδόμων ἀριθμῶν. ὅτι μὲν οὖν τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τῷ ὑπὸ τῶν πλείστων ἀστρολόγων καλουμένῳ κόσμῳ ἔλασσόν ἐστιν ἢ ͵α μονάδες τῶν ἑβδόμων ἀριθμῶν, δέδεικται· ὅτι δὲ καὶ τὸ πλῆθος

quam decem myriades sextorum numerorum. sphaera autem 14
diametrum habens decies centena millia myriadum stadiorum
longam centum myriadibus multiplex est quam sphaera dia-
metrum habens decem millia myriadum stadiorum longam.
si igitur ex arena tanta sphaera efficitur, quanta est sphaera
diametrum habens decies centena millia myriadum stadiorum
longam, manifestum est, numerum arenae minorem fore nu-
mero ex multiplicatis decem myriadibus sextorum numero-
rum et centum myriadibus orto. quoniam autem decem my-
riades sextorum numerorum quadragesimus sextus est ab
unitate numerus in proportione, et centum myriades septi-
mus est ab unitate in eadem proportione, adparet, productum
fore quinquagesimum secundum ab unitate in eadem propor-
tione [III, 6]. horum autem quinquaginta duorum primi qua- 15
draginta octo cum unitate ii sunt, qui primi, secundi, tertii,
quarti, quinti, sexti uocantur, reliqui autem quattuor ex iis
sunt, qui septimi uocantur, et ultimus eorum est mille uni-
tates septimorum numerorum. manifestum est igitur, nu-
merum arenae magnitudinem habentis aequalem sphaerae
diametrum habenti decies centena millia myriadum stadio-
rum longam minorem esse quam mille unitates septimorum
numerorum. iam quoniam demonstratum est, diametrum 16
mundi minus quam decies centena millia myriadum stadio-
rum longam esse [II, 1], adparet, etiam numerum arenae
magnitudinem habentis aequalem mundo minorem esse quam
mille unitates septimorum numerorum. itaque demonstratum
est, numerum arenae magnitudinem habentis aequalem mundo,
qualis a plerisque astrologis fingatur, minorem esse quam

---

1 ἔχουσα] GH, εχουσας A. 3 μυριάδων μυριᾶν] scripsi, μυριαδας μυριας A, μυριάκις μυρίων G. 4 μυριάδεσσιν] G, μυριαδεσιν A. 8 πολλαπλασιασθεισᾶν] G, πολλαπλασιων A. 9 μυριάδων] G, μυριαδαν A. ταῖς $\overline{\rho}$ μυριάδεσσιν] *Wallis*, ταν $\overline{\rho}$ μυριαδες A. 22 τὰν] EG, των A. 23 ἔλασσόν] E, ελασσων A. 25 μυριων mg. A. 28 οὖν] scripsi, ομοιως post lac. A.

τοῦ ψάμμου τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τα-
λικαύτᾳ, ἁλίκαν Ἀρίσταρχος ὑποτίθεται τὰν τῶν ἀπλα-
νέων ἄστρων σφαῖραν εἶμεν, ἔλασσόν ἐστιν ἢ ,α̅ μυ-
17 ριάδες τῶν ὀγδόων ἀριθμῶν, δειχθήσεται. ἐπεὶ γὰρ
ὑπόκειται, τὰν γᾶν τὸν αὐτὸν ἔχειν λόγον ποτὶ τὸν
ὑφ' ἁμῶν εἰρημένον κόσμον, ὃν ἔχει λόγον ὁ εἰρη-
μένος κόσμος ποτὶ τὰν τῶν ἀπλανέων ἄστρων σφαῖ-
ραν, ἃν Ἀρίσταρχος ὑποτίθεται, καὶ αἱ διαμέτροι τᾶν
σφαιρᾶν τὸν αὐτὸν ἔχοντι λόγον ποτ' ἀλλάλας. ἁ δὲ
τοῦ κόσμου διάμετρος τᾶς διαμέτρου τᾶς γᾶς δέδεικται
ἐλάσσων ἐοῦσα ἢ μυριοπλασίων· δῆλον οὖν, ὅτι καὶ
ἁ διάμετρος τᾶς τῶν ἀπλανέων ἄστρων σφαίρας ἐλάσ-
σων ἐστὶν ἢ μυριοπλασίων τᾶς διαμέτρου τοῦ κόσμου.
18 ἐπεὶ δὲ αἱ σφαῖραι τριπλάσιον λόγον ἔχοντι ποτ' ἀλ-
λάλας τᾶν διαμέτρων, φανερόν, ὅτι ἁ τῶν ἀπλανέων
ἄστρων σφαῖρα, ἃν Ἀρίσταρχος ὑποτίθεται, ἐλάττων
ἐστὶν ἢ μυριάκις μυρίαις μυριάδεσσι πολλαπλασίων
τοῦ κόσμου. δέδεικται δέ, ὅτι τὸ τοῦ ψάμμου πλῆθος
τοῦ μέγεθος ἔχοντος ἴσον τῷ κόσμῳ ἔλασσόν ἐστιν ἢ
,α̅ μονάδες τῶν ἑβδόμων ἀριθμῶν· δῆλον οὖν, ὅτι, εἰ γέ-
νοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλί-
καν ὁ Ἀρίσταρχος ὑποτίθεται τὰν τῶν ἀπλανέων ἄστρων
σφαῖραν εἶμεν, ἐλάσσων ἐσσεῖται ὁ τοῦ ψάμμου ἀριθμὸς
τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν χιλιᾶν
19 μονάδων ταῖς μυριάκις μυρίαις μυριάδεσσιν. καὶ ἐπεὶ
αἱ μὲν τῶν ἑβδόμων ,α̅ μονάδες δυοκαιπεντακοστός
ἐστιν ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ μυριάκις μύριαι
μυριάδες τρισκαιδέκατος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς
ἀναλογίας, δῆλον, ὅτι ὁ γενόμενος ἐσσεῖται τέταρτος
καὶ ἑξηκοστὸς ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας·
οὗτος δέ ἐστι τῶν ὀγδόων ὄγδοος, ὅς κα εἴη χίλιαι

mille unitates septimorum numerorum. restat autem, ut de-
monstremus, etiam numerum arenae magnitudinem habentis
aequalem tali sphaerae, qualem Aristarchus stellarum fixa-
rum sphaeram esse supponat, minorem esse quam mille my-
riades octauorum numerorum. nam quoniam suppositum est, 17
terram ad mundum, qualis uulgo a nobis fingatur, eam ratio-
nem habere, quam idem ille mundus habeat ad sphaeram stel-
larum fixarum, quam Aristarchus supponat [I, 6], etiam dia-
metri sphaerarum eandem inter se rationem habent [Eucl.
XII, 18]. et demonstratum est, diametrum mundi minorem
esse diametro terrae decies millies sumpta [II, 2]; adparet
igitur, etiam diametrum sphaerae stellarum fixarum mino-
rem esse diametro mundi decies millies sumpta. quoniam 18
autem sphaerae triplicem inter se rationem habent quam
diametri [Eucl. XII, 18], manifestum est, sphaeram stellarum
fixarum, quam Aristarchus supponat, minorem esse mundis
1000000000000. et demonstrantum est, numerum arenae
magnitudinem habentis mundo aequalem minorem esse quam
mille unitates septimorum numerorum [16]; adparet igitur,
si ex arena tanta sphaera efficiatur, quantam Aristarchus
supponat sphaeram stellarum fixarum esse, numerum arenae
minorem fore numero ex mille unitatibus ⟨septimorum nu-
merorum⟩ et 1000000000000 multiplicatis orto. quoniam 19
autem mille unitates septimorum quinquagesimus secundus
est ab unitate numerus in proportione, et 1000000000000
tertius decimus est ab unitate in eadem proportione, adparet,
productum fore sexagesimum quartum ab unitate numerum

---

3 ἔλασσόν] G, ελασσων A. 5 τὸν (alt.)] GH, e corr. E, των A. 9 ἔχοντι] EG, εχωντι A. ἀλλάλας] G, αλλας A. 11 μυριοπλασίων] *Wallis*, μυριοπλασιαν A, μυριοπλασία G, e corr. E. 14 ἐπεὶ δὲ] *Wallis*, επειδη A. ἔχοντι] EG, εχωντι A. 17 μυρίαις] scripsi, om. A, μυριάδων H. 18 ὅτι] *Riualtus*, om. A. 19 ἔλασσόν] mg. G, ελασσων A. 24 πολλαπλασιασθεισᾶν] G, πολλαπλασιαν A. 25 μονάδων] A, μονάδων τῶν ἑβδόμων ἀριθμῶν G. 26 ἑβδόμων] A, ἑβδόμων ἀριθμῶν G. 27 αἱ] *Wallis*, om. A. 31 ὅς κα εἴη] scripsi, καὶ πεντάκις EGH, και πεντα D.

μυριάδες τῶν ὀγδόων ἀριθμῶν. φανερὸν τοίνυν, ὅτι τοῦ ψάμμου τὸ πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ τῶν ἀπλανέων ἄστρων σφαίρᾳ, ἃν Ἀρίσταρχος ὑποτίθεται, ἔλασσόν ἐστιν ἢ ͵ᾱ μυριάδες τῶν ὀγδόων ἀριθμῶν. ταῦτα δέ, βασιλεῦ Γέλων, τοῖς μὲν πολλοῖς καὶ μὴ κεκοινωνηκότεσσι τῶν μαθημάτων οὐκ εὔπιστα φανήσειν ὑπολαμβάνω, τοῖς δὲ μεταλελαβηκότεσσιν καὶ περὶ τῶν ἀποστημάτων καὶ τῶν μεγεθέων τᾶς τε γᾶς καὶ τοῦ ἁλίου καὶ τᾶς σελήνας καὶ τοῦ ὅλου κόσμου πεφροντικότεσσιν πιστὰ διὰ τὰν ἀπόδειξιν ἐσσεῖσθαι· διόπερ ᾠήθην καὶ τὶν οὐκ ἀνάρμοστον εἶμεν [ἔτι] ἐπιθεωρῆσαι ταῦτα.

in eadem proportione; is autem octauus est numerorum octauorum, qui est mille myriades numerorum octauorum. ergo manifestum est, numerum arenae magnitudinem habentis aequalem sphaerae stellarum fixarum, quam supponat Aristarchus, minorem esse quam mille myriades octauorum numerorum. haec autem, rex Gelo, uulgo hominum mathematices imperito incredibilia uisum iri puto, peritis uero, qui distantias magnitudinesque terrae et solis et lunae et totius mundi cognouerint, credibilia propter demonstrationem fore; quare putaui, tibi quoque conuenire haec cognoscere.

---

2 τᾷ] *Wallis*, om. A. **11** καὶ] A, κα καὶ *Maduigius*. τὶν] *Gomperz*, *Bergk*; τινας A. *ἀνάρμοστον εἶμεν*] *Gomperz*, *Bergk*; *αναρμοστον ειη* A, *ἀναρμοστεῖν* *Maduigius*. *ἔτι*] del. *Gomperz*, *Bergk*. In fine: *Ἀρχιμηδους ψαμμιτης* A.

QUADRATURA PARABOLAE.

Τετραγωνισμὸς παραβολῆς.

Ἀρχιμήδης Δοσιθέῳ εὖ πράττειν.

Ἀκούσας Κόνωνα μὲν τετελευτηκέναι, ὃς ἦν οὐδὲν ἐπιλείπων ἁμῖν ἐν φιλίᾳ, τὶν δὲ Κόνωνος γνώριμον γεγενῆσθαι καὶ γεωμετρίας οἰκεῖον εἶμεν τοῦ μὲν τετελευτηκότος εἵνεκεν ἐλυπήθημες ὡς καὶ φίλου τοῦ ἀνδρὸς γεναμένου καὶ ἐν τοῖς μαθημάτεσσι θαυμαστοῦ τινος, ἐπροχειριξάμεθα δὲ ἀποστεῖλαι τοι γράψαντες, ὡς Κόνωνι γράφειν ἐγνωκότες ἦμες, γεωμετρικῶν θεωρημάτων, ὃ πρότερον μὲν οὐκ ἦν τεθεωρημένον, νῦν δὲ ὑφ᾽ ἁμῶν τεθεώρηται, πρότερον μὲν διὰ μηχανικῶν εὑρεθέν, ἔπειτα δὲ καὶ διὰ τῶν γεωμετρικῶν ἐπιδειχθέν. τῶν μὲν οὖν πρότερον περὶ γεωμετρίαν πραγματευθέντων ἐπεχείρησάν τινες γράφειν ὡς δυνατὸν ἐὸν κύκλῳ τῷ δοθέντι καὶ κύκλου τμάματι τῷ δοθέντι χωρίον εὑρεῖν εὐθύγραμμον ἴσον, καὶ μετὰ ταῦτα τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ὅλου τοῦ κώνου τομᾶς καὶ εὐθείας τετραγωνίζειν ἐπειρῶντο λαμβάνοντες οὐκ εὐπαραχώρητα λήμματα, διόπερ αὐτοῖς ὑπὸ τῶν

---

1 *Ἀρχιμηδους τετραγ.* A, liber Archimedis qui dicitur quadratura parabolae 𝔅. 3 *οὐδὲν ἐπιλείπων*] scripsi, *ετι λειπων* A, om. 𝔅. 4 *ἐν φιλίᾳ*] A, amicus 𝔅. *τὶν*] scripsi, *τινα* A𝔅, *τένη* *Torellius*. 5 *εἶμεν*] A, fore 𝔅. 6 *εἵνεκεν*] A; om. 𝔅, mg. grauiter. *καὶ*] A, om. 𝔅. 8 *τοι*] *Torellius*, om. A𝔅. 9 *ἐγνωκότες ἦμες*] *ἐγνωκότες ἦμεν* H, *εγνωκοτες ειμεν* A, consueueramus 𝔅. 11 *ἁμῶν*] *ημων* A; aliis 𝔅, mg. in alio a nobis. 12 *καὶ*] A, om. 𝔅. *ἐπιδειχθέν. τῶν*]

Quadratura parabolae.[1])

Archimedes Dositheo s.

Cum audiuissem, Cononem mortuum esse, qui erga nos nullum amicitiae officium neglegebat, te autem Cononi familiarem fuisse geometriaeque esse peritum, demortui causa dolore adfecti sumus, quippe qui et amicus et in mathematicis admirabili acumine praeditus esset, suscepimus autem ad te per litteras, sicuti ad Cononem mittere constitueramus, geometricorum theorematum quoddam mittere, quod antea perspectum non erat, nunc uero a nobis perspectum est, prius per mechanica inuentum, postea autem etiam per geometrica demonstratum. eorum enim, qui antea in geometria uersati sunt, quidam[2]) conati sunt scribere, fieri posse, ut spatium rectilineum inueniretur dato circulo et dato circuli segmento aequale, et deinde spatium totius[3]) coni sectione rectaque comprehensum quadrare conabantur lemmata minime manifesta adsumentes; quare plerique agnouerunt, haec

1) Hic titulus ab Archimede profectus esse nequit; cfr. Eutocius ad pl. aeq. II, 8.

2) De circuli quadratura egerant praeter alios Antipho, Hippias, Hippocrates; hunc maxime significat Archimedes. adparet, Archimedem, cum haec scriberet, nondum ipsum de dimensione circuli egisse.

3) *ὅλου τοῦ κώνου τομά* uix alia esse postest quam ellipsis. sed et insolenter dictum est, et offendit, quod propter *καὶ εὐθείας* etiam de segmentis ellipsis accipiendum est; cfr. Quaest. Arch. p. 149. de conatibus ellipsim quadrandi ante Archimedem nihil notum est.

A, demonstratis 𝔅. 13 *οὖν*] addidi, om. A𝔅. 15 *ἐὸν*] A, erat 𝔅. 16 *ταῦτα*] A, hoc 𝔅. 19 *διόπερ*] *Torellius*, *οπερ* A; quae quidem 𝔅, mg. *οπερ*.

πλείστων οὐκ εὑρισκόμενα ταῦτα κατεγνώσθεν. τὸ δὲ ὑπ' εὐθείας τε καὶ ὀρθογωνίου κώνου τομᾶς τμᾶμα περιεχόμενον οὐδένα τῶν προτέρων ἐγχειρήσαντα τετραγωνίζειν ἐπιστάμεθα, ὃ δὴ νῦν ὑφ' ἁμῶν εὕρηται· δείκνυται γάρ, ὅτι πᾶν τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς ἐπίτριτόν ἐστι τοῦ τριγώνου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν καὶ ὕψος ἴσον τῷ τμάματι λαμβανομένου τοῦδε τοῦ λήμματος ἐς τὰν ἀπόδειξιν αὐτοῦ· τῶν ἀνίσων χωρίων τὰν ὑπεροχάν, ᾇ ὑπερέχει τὸ μεῖζον τοῦ ἐλάσσονος, δυνατὸν εἶμεν αὐτὰν ἑαυτᾷ συντιθεμέναν παντὸς ὑπερέχειν τοῦ προτεθέντος πεπερασμένου χωρίου. κέχρηνται δὲ καὶ οἱ πρότερον γεωμέτραι τῷδε τῷ λήμματι· τούς τε γὰρ κύκλους διπλασίονα λόγον ἔχειν ποτ' ἀλλάλους τᾶν διαμέτρων ἀποδεδείχασιν αὐτῷ τούτῳ τῷ λήμματι χρωμένοι, καὶ τὰς σφαίρας ὅτι τριπλασίονα λόγον ἔχοντι ποτ' ἀλλάλας τᾶν διαμέτρων, ἔτι δὲ καὶ ὅτι πᾶσα πυραμὶς τρίτον μέρος ἐστὶ τοῦ πρίσματος τοῦ τὰν αὐτὰν βάσιν ἔχοντος τᾷ πυραμίδι καὶ ὕψος ἴσον· καὶ διότι πᾶς κῶνος τρίτον μέρος ἐστὶ τοῦ κυλίνδρου τοῦ τὰν αὐτὰν βάσιν ἔχοντος τῷ κώνῳ καὶ ὕψος ἴσον, ὁμοῖον τῷ προειρημένῳ λῆμμά τι λαμβάνοντες ἔγραφον. συμβαίνει δὲ τῶν προειρημένων θεωρημάτων ἕκαστον μηδενὸς ἧσσον τῶν ἄνευ τούτου τοῦ λήμματος ἀποδεδειγμένων πεπιστευκέναι· ἀρκεῖ δὲ ἐς τὰν ὁμοίαν πίστιν τούτοις ἀναγμένων τῶν ὑφ' ἁμῶν ἐκδιδομένων. ἀναγράψαντες οὖν αὐτοῦ τὰς ἀποδείξιας ἀποστέλλομες πρῶ-

---

1 κατεγνώσθεν mg. B (despecta sunt). δὲ ὑπ' εὐθείας] *Torellius*, om. A, autem (contentam) a B. 2 τε] addidi, om. AB. καὶ] A, om. B. 3 προτέρων] scripsi, πρωτων AB. 11 ἑαυτᾷ] addidi, om. A, excessum in ras. B. 15 αὐτῷ

ab iis inuenta non esse. segmentum autem linea recta sectioneque coni rectanguli comprehensum neminem ex prioribus quadrare conatum esse scimus, id quod iam a nobis inuentum est; demonstramus enim, quoduis segmentum linea recta sectioneque coni rectanguli comprehensum tertia parte maius esse triangulo basim eandem habenti quam segmentum et altitudinem aequalem, hoc ad demonstrationem adsumpto lemmate,[1]) spatiorum inaequalium excessum, quo maius excedat minus, sibi ipsum additum quoduis spatium datum terminatum excedere posse. hoc autem lemmate priores quoque geometrae usi sunt; nam circulos duplicem rationem habere inter se quam diametros [Eucl. XII, 2], hoc ipso lemmate usi demonstrauerunt, et sphaeras triplicem inter se rationem habere quam diametros [Eucl. XII, 18], et porro quamuis pyramidem tertiam esse partem prismatis eandem basim habentis, quam pyramis, et altitudinem aequalem [Eucl. XII, 7]; et quemuis conum tertiam esse partem cylindri eandem basim habentis, quam conus, et altitudinem aequalem [Eucl. XII, 10], demonstrabant lemma illi simile [Eucl. X, 1] adsumentes. accidit autem, ut omnia illa theoremata nullo minus eorum, quae sine hoc lemmate demonstrata sunt, certa habeantur; et satis mihi est, si ea, quae nunc edimus, ad eandem fidem perducta sunt. demonstrationes igitur eorum a nobis conscriptas mittimus, prius, quo

---


1) De hoc lemmate cfr. De sph. et cyl. I p. 9 not. 2, De spiral. II p. 12, 6 sqq. inter priores geometras (lin. 13) praecipue de Eudoxo cogitandum esse, adparet ex I p. 4, 5 sqq., ubi Eucl. XII, 7 et 10 ei adtribuuntur, quarum haec ope Eucl. X, 1 demonstratur, illa alio prorsus modo (u. Studien über Euklid p. 34). in Eucl. XII, 2 usurpatur X, 1, in XII, 18 neque hoc neque lemma Archimedis. cfr. Quaest. Archim. p. 150.

τούτῳ] scripsi, *αυτῳ* A, hoc 𝔅. 17 *ὅτι*] addidi, om. A𝔅. *πυραμὶς*] H, e corr. G, *μυραμις* A. 21 *ὁμοῖον*] scripsi, *ομοιως* A𝔅. 22 *λῆμμά τι*] *λημματι* A𝔅. 23 *δὲ*] *Torellius*, om. A𝔅. 24 *τοῦ λήμματος*] A, om. 𝔅. 25 *ἀρκεῖ*] scripsi, sufficit 𝔅, *αρτι* A. 26 *τούτοις*] scripsi, *τουτου* A𝔅, *τούτων* *Torellius*. *ἀναγμένων*] scripsi, *αναγμενον* A𝔅, *ἀναγομένων* G.

τον μέν, ὡς διὰ τῶν μηχανικῶν ἐθεωρήθη, μετὰ ταῦτα δὲ καί, ὡς διὰ τῶν γεωμετρουμένων ἀποδείκνυται. προγράφεται δὲ καὶ στοιχεῖα κωνικὰ χρεῖαν ἔχοντα ἐς τὰς ἀπόδειξιν. ἔρρωσο.

α΄.

τομᾶς κατὰ τὸ Θ. ἄχθω δὲ ἁ ΕΘ παρὰ τὰν διάμετρον, ἄχθω δὲ καὶ ἀπὸ τοῦ Β παρὰ τὰν διάμετρον ἁ ΒΔ, ἀπὸ δὲ τοῦ Γ ἁ ΓΔ ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ Γ. ἐπεὶ οὖν ἁ μὲν ΚΘ παρὰ τὰν διάμετρόν ἐστιν, ἁ δὲ ΓΔ ἐπιψαύουσα τᾶς τομᾶς κατὰ τὸ Γ, ἁ δὲ ΕΓ παράλληλός ἐστι τᾷ ἐπιψαυούσᾳ τᾶς τομᾶς κατὰ τὸ Θ, τὸ ΒΔΓ τρίγωνον τετραπλάσιόν ἐστι τοῦ ΒΘΓ τριγώνου. ἐπεὶ δὲ τὸ ΒΔΓ τρίγωνον τοῦ μὲν ΒΘΓ τμάματος τριπλάσιόν ἐστι, τοῦ δὲ ΒΘΓ τριγώνου τετραπλάσιον, δῆλον, ὡς ἐπίτριτόν ἐστι τὸ ΒΘΓ τμᾶμα τοῦ ΒΘΓ τριγώνου.

Τῶν τμαμάτων τῶν περιεχομένων ὑπό τε εὐθείας καὶ καμπύλας γραμμᾶς βάσιν μὲν καλέω τὰν εὐθεῖαν, ὕψος δὲ τὰν μεγίσταν κάθετον ἀπὸ τᾶς καμπύλας γραμμᾶς ἀγομέναν ἐπὶ τὰν βάσιν τοῦ τμάματος, κορυφὰν δὲ τὸ σαμεῖον, ἀφ' οὗ ἁ μεγίστα κάθετος ἄγεται.

ιη'.


Εἴ κα ἐν τμάματι, ὃ περιέχεται ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς, ἀπὸ μέσας τᾶς βάσιος ἀχθῇ εὐθεῖα παρὰ τὰν διάμετρον, κορυφὰ ἐσσεῖται τοῦ τμάματος τὸ σαμεῖον, καθ' ὃ ἁ παρὰ τὰν διάμετρον ἀχθεῖσα τέμνει τὰν τοῦ κώνου τομάν.

ἔστω γὰρ τμᾶμα τὸ ΑΒΓ περιεχόμενον ὑπό τε εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς, καὶ ἀπὸ μέσας τᾶς ΑΓ ἄχθω ἁ ΔΒ παρὰ τὰν διάμετρον. ἐπεὶ οὖν

---

7 Θ] A, *t* equalis est quae *te* ipsi *tk* 𝔅. τὸ ΒΔΓ τρίγωνον] A, trigonum ergo *bdg* 𝔅. 10 τμᾶμα] 𝔅, om. A. 11 ΒΘΓ] mg. 𝔅, ΒΔΓ A𝔅. 14 ἀπὸ] 𝔅EG, απο επι A. 15 ἀγομέναν] 𝔅G, απτομεναν A.

[prop. 1, b]. ducatur autem $E\Theta$ diametro parallela, et etiam a puncto B diametro parallela ducatur $B\Delta$, a Γ autem recta $\Gamma\Delta$ coni sectionem in puncto Γ contingens. quoniam igitur recta $K\Theta$ diametro parallela est, $\Gamma\Delta$ autem sectionem in Γ contingit, et $E\Gamma$ rectae sectionem in Θ contingenti parallela est, erit $B\Delta\Gamma = 4\ B\Theta\Gamma$.[1]) et quoniam triangulus $B\Delta\Gamma$ triplo maior est segmento $B\Theta\Gamma$ [prop. 16], triangulo autem $B\Theta\Gamma$ quadruplo maior, adparet, segmentum $B\Theta\Gamma$ tertia parte maius esse triangulo $B\Theta\Gamma$.



Segmentorum linea recta et curua aliqua linea comprehensorum basim uoco lineam rectam, altitudinem autem maximam earum rectarum, quae a curua linea ad basim perpendiculares ducantur, uerticem uero punctum, unde perpendicularis maxima ducatur.

XVIII.

Si in segmento linea recta et coni rectanguli sectione comprehenso a media basi recta diametro parallela ducitur, uertex segmenti erit punctum, in quo recta diametro parallela coni sectionem secat.[2])


sit enim $AB\Gamma$ segmentum linea recta et coni rectanguli sectione comprehensum, et a media recta $A\Gamma$ ducatur ΔB diametro parallela. quoniam igitur in sectione coni rect-

---

1) Nam $EK : B\Delta = E\Gamma : B\Gamma$ [Eucl. VI, 4] $= 1 : 2$. sed $E\Theta = \Theta K$ (prop. 2); quare $E\Theta : B\Delta = 1 : 4 = B\Theta\Gamma : B\Gamma\Delta$ (ZMP. XXIV p. 178 nr. 7).

2) Recta ΔB diametrus segmenti erit (cfr. ZMP. XXV p. 44 et p. 51 nr. 14). tum cfr. Apollon. Con. I def. 4: κορυφὴν δὲ τῆς γραμμῆς τὸ πέρας τῆς εὐθείας (h. e. τῆς διαμέτρου) τὸ πρὸς τῇ γραμμῇ.


ἐν ὀρθογωνίου κώνου τομᾷ ἁ ΒΔ ἆκται παρὰ τὰν διάμετρον, καὶ ἴσαι ἐντὶ αἱ ΑΔ, ΔΓ, δῆλον, ὡς παραλλήλοι ἐντι ἅ τε ΑΓ καὶ ἁ κατὰ τὸ Β ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς. φανερὸν οὖν, ὅτι τᾶν ἀπὸ τᾶς τομᾶς ἐπὶ τὰν ΑΓ ἀγομενᾶν καθέτων μεγίστα ἐσσεῖται ἁ ἀπὸ τοῦ Β ἀγομένα· κορυφὰ οὖν ἐστιν τοῦ τμάματος τὸ Β σαμεῖον.



ιθ'.

Ἐν τμάματι περιεχομένῳ ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς ἁ ἀπὸ μέσας τᾶς βάσιος ἀχθεῖσα τᾶς ἀπὸ μέσας τᾶς ἡμισείας ἀγομένας ἐπίτριτος ἐσσεῖται μάκει.

ἔστω γὰρ τὸ ΑΒΓ τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς, καὶ ἄχθω παρὰ τὰν διάμετρον ἁ μὲν ΒΔ ἀπὸ μέσας τᾶς ΑΓ, ἁ δὲ ΕΖ ἀπὸ μέσας τᾶς ΑΔ, ἄχθω δὲ καὶ ἁ ΖΘ παρὰ ΑΓ. ἐπεὶ οὖν ἐν ὀρθογωνίου κώνου τομᾷ ἁ ΒΔ παρὰ τὰν διάμετρον ἆκται, καὶ αἱ ΑΔ, ΖΘ παρὰ τὰν κατὰ τὸ Β ἐπιψαύουσάν ἐντι, δῆλον, ὡς τὸν αὐτὸν ἔχει λόγον ἁ ΒΔ ποτὶ τὰν ΒΘ μάκει, ὃν ἁ ΑΔ ποτὶ τὰν ΖΘ δυνάμει· τετραπλασία ἄρα ἐστὶν καὶ ἁ ΒΔ τᾶς ΒΘ μάκει. φανερὸν οὖν, ὅτι ἐπίτριτός ἐστιν ἁ ΒΔ τᾶς ΕΖ μάκει.



κ'.

Εἴ κα εἰς τμᾶμα περιεχόμενον ὑπό τε εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς τρίγωνον ἐγγραφῇ τὰν αὐ-

anguli recta $B\varDelta$ diametro parallela ducta est, et $A\varDelta = \varDelta\Gamma$, adparet, rectam $A\Gamma$ rectamque in puncto B sectionem coni contingentem parallelas esse [prop. 1, b]. itaque manifestum est, rectarum, quae a sectione ad rectam $A\Gamma$ perpendiculares ducantur, maximam fore rectam a puncto B ductam;[1]) ergo punctum B uertex est sectionis [p. 300, 15].

XIX.

In segmento linea recta et sectione coni rectanguli comprehenso recta a media basi ⟨diametro parallela⟩ ducta tertia parte maior est longitudine quam recta a media basi dimidia ⟨eodem modo⟩ ducta.

sit enim $AB\Gamma$ segmentum linea recta et sectione coni rectanguli comprehensum, et diametro parallelae ducantur a media recta $A\Gamma$ recta $B\varDelta$, a media autem recta $A\varDelta$ recta EZ, et ducatur etiam $Z\Theta$ rectae $A\Gamma$ parallela. quoniam igitur in sectione coni rectanguli $B\varDelta$ diametro parallela ducta est, et rectae $A\varDelta$, $Z\Theta$ rectae in B contingenti parallelae sunt,[2]) adparet, esse $B\varDelta : B\Theta = A\varDelta^2 : Z\Theta^2$ [prop. 3]; itaque etiam $B\varDelta = 4\,B\Theta$.[3]) ergo manifestum est, esse $B\varDelta = \frac{4}{3}\,EZ$.[4])

XX.

Si in segmento linea recta et coni rectanguli sectione comprehenso triangulus inscribitur eandem basim habens,

1) Nam, si ullius puncti sectionis distantia maior esset, pars sectionis extra rectam in B contingentem caderet; itaque coni sectionem secaret, quod contra hypothesim est.

2) Quia $A\varDelta = \varDelta\Gamma$; tum u. prop. 1, b.


3) Nam $A\varDelta = 2\,Z\Theta$.

4) Nam $\Theta\varDelta = 3\,B\Theta = EZ$.

1 *κώνου*] *Torellius*, om. A𝔅. 2 *παραλλήλοι*] G, *παραλληλος* A𝔅. 6 *τᾶν*] *Torellius*, om. A. 7 *ἀγομενᾶν*] 𝔅, *αγομενας* A. *καθέτων*] scripsi, *καθετος* A𝔅. 11 *ἐν τμάματι περιεχομένῳ*] 𝔅, *εικα τμημα περιεχομενον* A. 22 *κατὰ τὸ Β*] A, om. 𝔅. 23 *ἐντι*] 𝔅, *αι μεν τι* A. *τὸν αὐτὸν*] e corr. G, *ταν αυταν* A. *ἔχει*] 𝔅, *εχοντι* A.

τὰν βάσιν ἔχον τῷ τμάματι καὶ ὕψος τὸ αὐτό, μεῖξον ἐσσεῖται τὸ ἐγγραφὲν τρίγωνον ἢ ἥμισυ τοῦ τμάματος.

ἔστω γὰρ τὸ ΑΒΓ τμᾶμα, οἷον εἴρηται, καὶ ἐγγεγράφθω εἰς αὐτὸ τρίγωνον τὸ ΑΒΓ τὰν αὐτὰν ἔχον βάσιν τῷ ὅλῳ καὶ ὕψος ἴσον. ἐπεὶ οὖν τὸ τρίγωνον τῷ τμάματι τὰν αὐτὰν ἔχει βάσιν καὶ ὕψος τὸ αὐτό, ἀναγκαῖον, τὸ Β σαμεῖον κορυφὰν εἶμεν τοῦ τμάματος· παράλληλος ἄρα ἐστὶν ἁ ΑΓ τᾷ κατὰ τὸ Β ἐπιψανούσᾳ τᾶς τομᾶς. ἄχθω ἁ ΔΕ διὰ τοῦ Β παρὰ τὰν ΑΓ καὶ ἀπὸ τῶν Α, Γ αἱ ΑΔ, ΓΕ παρὰ τὰν διάμετρον· πεσοῦνται δὴ αὗται ἐκτὸς τοῦ τμάματος. ἐπεὶ οὖν ἥμισύ ἐστι τὸ ΑΒΓ τρίγωνον τοῦ ΑΔΕΓ παραλληλογράμμου, φανερόν, ὅτι μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ τμάματος.



ΠΟΡΙΣΜΑ.

Δεδειγμένου δὲ τούτου δῆλον, ὅτι ὡς ἐς τοῦτο τὸ τμᾶμα δυνατόν ἐστι πολύγωνον ἐγγράψαι, ὥστε εἶμεν τὰ περιλειπόμενα τμάματα παντὸς ἐλάσσονα τοῦ προτεθέντος χωρίου· ἀφαιρουμένου γὰρ ἀεὶ μείζονος τοῦ ἡμίσεος διὰ τοῦτο φανερόν, ὅτι ἐλασσοῦντες ἀεὶ τὰ λειπόμενα τμάματα ποιήσομες ταῦτα ἐλάσσονα παντὸς τοῦ προτεθέντος χωρίου.

10 *ἄχθω*] A, ducatur autem 𝔅. 11 *ΔΕ*] A, *ze* 𝔅. 12 *τῶν*] *Basil.*, *ταν* A. 13 *ΑΔ*] A, *az* 𝔅. 15 *ΑΔΕΓ*] A, *azeg* 𝔅. 18 *πόρισμα*] om. A𝔅. 19 *δεδειγμένου δὲ τούτου*] 𝔅, *δεδειγμενου* A, *τούτου δεδειγμένου* G. *ὅτι ὡς*] A, quod 𝔅; fort. *ὅτι*; cfr. p. 308, 20. 21 *περιλειπόμενα*] 𝔅G, *περιπομενα* D, *περιεπόμενα* EH.

quam segmentum, altitudinemque eandem, triangulus inscriptus maior erit dimidia parte segmenti.


sit enim $AB\Gamma$ segmentum, quale diximus, et in eo inscribatur triangulus $AB\Gamma$ eandem basim habens, quam totum segmentum, altitudinemque aequalem. quoniam igitur triangulus eandem basim habet, quam segmentum, altitudinemque eandem, necesse est, punctum B uerticem esse segmenti;[1]) itaque $A\Gamma$ rectae in B sectionem contingenti parallela est.[2]) ducatur per punctum B rectae $A\Gamma$ parallela recta ΔE, et a punctis A, Γ diametro parallelae rectae $A\Delta$, ΓE; cadent igitur extra segmentum.[4]) quoniam igitur triangulus $AB\Gamma = \frac{1}{2} A\Delta E\Gamma$ [Eucl. I, 41], manifestum est, maiorem eum esse dimidia parte segmenti.

COROLLARIUM.


Hoc autem demonstrato adparet, fieri posse, ut in tali segmento polygonum inscribatur, ita ut segmenta reliqua minora sint quouis spatio dato; nam si semper spatium, quod propter hanc propositionem [20] maius est parte dimidia, abstulerimus, manifestum est, nos spatia reliqua semper minuentes ⟨aliquando⟩ ea minora facturos esse quouis spatio dato [Eucl. X, 1].

1) Nam altitudo trianguli recta est a B ad $A\Gamma$ perpendicularis, quae cum etiam segmenti sit altitudo, maxima erit rectarum a sectione ad $A\Gamma$ perpendicularium (p. 300, 14); tum u. p. 300, 15.
2) Nam recta a B diametro parallela ducta rectam $A\Gamma$ in duas partes aequales diuidet (per conuersam prop. 18; cfr. prop. 17 p. 298, 25); tum u. prop. 1, b.
3) De conoid. 16; ZMP. XXV p. 53 nr. 19.

In 𝔅 fig. haec est




In D uero haec



κα'.

Εἴ κα εἰς τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς τρίγωνον ἐγγραφῇ τὰν αὐτὰν βάσιν ἔχον τῷ τμάματι καὶ ὕψος τὸ αὐτό, ἐγγραφέωντι δὲ καὶ ἄλλα τρίγωνα ἐς τὰ λειπόμενα τμάματα τὰν αὐτὰν βάσιν ἔχοντα τοῖς τμαμάτεσσιν καὶ ὕψος τὸ αὐτό, ἑκατέρου τῶν τριγώνων τῶν εἰς τὰ περιλειπόμενα τμάματα ἐγγραφέντων ὀκταπλάσιον ἐσσεῖται τὸ τρίγωνον τὸ εἰς τὸ ὅλον τμᾶμα ἐγγραφέν.

ἔστω τὸ ΑΒΓ τμᾶμα, οἷον εἴρηται, καὶ τετμάσθω ἁ ΑΓ δίχα τῷ Δ, ἁ δὲ ΒΔ ἄχθω παρὰ τὰν διάμετρον· τὸ Β ἄρα σαμεῖον κορυφά ἐστιν τοῦ τμάματος.



τὸ ἄρα ΑΒΓ τρίγωνον τὰν αὐτὰν βάσιν ἔχει τῷ τμάματι καὶ ὕψος τὸ αὐτό. πάλιν τετμάσθω δίχα ἁ ΑΔ τῷ Ε, καὶ ἄχθω ἁ ΕΖ παρὰ τὰν διάμετρον, τετμάσθω δὲ ἁ ΑΒ κατὰ τὸ Θ· τὸ ἄρα Ζ σαμεῖον κορυφά ἐστι τοῦ τμάματος τοῦ ΑΖΒ. τὸ δὴ ΑΖΒ τρίγωνον τὰν αὐτὰν βάσιν ἔχει τῷ [ΑΖΒ] τμάματι καὶ ὕψος τὸ αὐτό. δεικτέον, ὅτι ὀκταπλάσιόν ἐστι τὸ ΑΒΓ τρίγωνον τοῦ ΑΖΒ τριγώνου.

ἔστιν οὖν ἁ ΒΔ τᾶς μὲν ΕΖ ἐπίτριτος, τᾶς δὲ ΕΘ διπλασία· διπλασία ἄρα ἐστὶν ἁ ΕΘ τᾶς ΘΖ. ὥστε καὶ τὸ ΑΕΒ τρίγωνον διπλάσιόν ἐστι τοῦ ΖΒΑ· τὸ μὲν γὰρ ΑΕΘ διπλάσιόν ἐστι τοῦ ΑΘΖ, τὸ δὲ ΘΒΕ τοῦ ΖΘΒ. ὥστε τὸ ΑΒΓ τοῦ ΑΖΒ ἐστιν ὀκταπλάσιον.

XXI.

Si in segmento linea recta et coni rectanguli sectione comprehenso triangulus inscribitur eandem basim habens, quam segmentum, altitudinemque eandem, et etiam in segmentis reliquis alii trianguli inscribuntur eandem basim habentes, quam segmenta, altitudinemque eandem, triangulus in toto segmento inscriptus aequalis erit utriuis triangulorum in segmentis reliquis inscriptorum octies sumpto.

sit $AB\Gamma$ segmentum, quale diximus, et recta $A\Gamma$ in puncto Δ in duas partes aequales diuidatur, $B\Delta$ autem diametro parallela ducatur; punctum B igitur uertex est segmenti [prop. 18]. itaque triangulus $AB\Gamma$ eandem basim habet, quam segmentum, altitudinemque eandem.[1] rursus recta $A\Delta$ in puncto E in duas partes aequales diuidatur, diametro autem parallela ducatur EZ, et recta AB ab ea in Θ secetur; punctum Z igitur uertex est segmenti AZB.[2] quare triangulus AZB eandem basim habet, quam segmentum AZB, altitudinemque eandem. demonstrandum est, esse

$$AB\Gamma = 8\,ABZ.$$

est igitur $B\Delta = \frac{4}{3}\,EZ$ [prop. 19] $= 2\,E\Theta$;[3] itaque $E\Theta = 2\,\Theta Z$.[4] quare etiam $AEB = 2\,ZBA$; nam

$$AE\Theta = 2\,A\Theta Z \text{ et } \Theta BE = 2\,Z\Theta B \text{ [Eucl. VI, 1]}.$$

---

1) Nam altitudo trianguli recta est ab B ad $A\Gamma$ perpendicularis, quae eadem altitudo est segmenti, quia B uertex est (p. 300, 15).

2) Nam $E\Theta \parallel B\Delta$ [Eucl. I, 30]; itaque $AE : E\Delta = A\Theta : \Theta B$ [Eucl. VI, 2]. et $AE = E\Delta$; quare $A\Theta = \Theta B$; tum u. prop. 18.

3) Nam $AE : A\Delta = E\Theta : B\Delta$ [Eucl. VI, 4] $= 1 : 2$.

4) Nam $E\Theta = \frac{2}{3}\,EZ$; itaque $\Theta Z = \frac{1}{3}\,EZ$.

---

21 Θ] A, *t* in duo equa 𝔅. In fig. ducta est BK in 𝔅, sed *k* expunctum et mg. adscr. male figurata. **23** τῷ] GH, το A. AZB] A, om. 𝔅; fort. delendum. **25** AZB] 𝔅, ABZ A.


ὁμοίως δὲ δειχθήσεται καὶ τοῦ εἰς τὸ ΒΗΓ τμᾶμα ἐγγραφέντος.

κβʹ.

Εἴ κα ᾖ τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς, καὶ χωρία τεθέωντι ἑξῆς ὁποσαοῦν ἐν τῷ τετραπλασίονι λόγῳ, ᾖ δὲ τὸ μέγιστον τῶν χωρίων ἴσον τῷ τριγώνῳ τῷ βάσιν ἔχοντι τὰν αὐτὰν τῷ τμάματι καὶ ὕψος τὸ αὐτό, σύμπαντα τὰ χωρία ἐλάσσονα ἐσσεῖται τοῦ τμάματος.

ἔστω γὰρ τμᾶμα τὸ ΑΔΒΕΓ περιεχόμενον ὑπό τε εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς, χωρία δὲ ἔστω ὁποσαοῦν ἑξῆς κείμενα τὰ Ζ, Η, Θ, Ι, τετραπλάσιον δὲ ἔστω τὸ ἀγούμενον τοῦ ἑπομένου, μέγιστον δὲ ἔστω τὸ Ζ, καὶ ἔστω τὸ Ζ ἴσον τῷ τριγώνῳ τῷ βάσιν ἔχοντι τὰν αὐτὰν τῷ τμάματι καὶ ὕψος ἴσον. λέγω, ὅτι τὸ τμᾶμα τῶν Ζ, Η, Θ, Ι χωρίων μεῖζόν ἐστιν.

ἔστω τοῦ μὲν ὅλου τμάματος κορυφὰ τὸ Β, τῶν δὲ περιλειπομένων τμαμάτων τὰ Δ, Ε. ἐπεὶ οὖν τὸ ΑΒΓ τρίγωνον ὀκταπλάσιόν ἐστιν ἑκατέρου τῶν ΑΔΒ, ΒΕΓ τριγώνων, δῆλον, ὅτι ὡς ἀμφοτέρων αὐτῶν ἐστι τετραπλάσιον. καὶ ἐπεὶ τὸ ΑΒΓ τρίγωνον ἴσον ἐστὶ τῷ Ζ χωρίῳ, κατὰ ταῦτα δὴ καὶ τὰ ΑΔΒ, ΒΕΓ τρίγωνα ἴσα ἐστὶ τῷ Η χωρίῳ. ὁμοίως δὲ δειχθήσεται, ὅτι καὶ τὰ εἰς τὰ περιλειπόμενα τμάματα ἐγγραφόμενα τρίγωνα τὰν αὐτὰν βάσιν ἔχοντα τοῖς τμαμάτεσσιν καὶ ὕψος τὸ αὐτὸ ἴσα ἐντὶ τῷ Θ καὶ τὰ ἐς



ergo $AB\Gamma = 8\,AZB$.[1]) et eodem modo demonstrabimus, esse etiam $AB\Gamma = 8\,BH\Gamma$.

XXII.

Si datum est segmentum linea recta et coni rectanguli sectione comprehensum, et ponuntur spatia quotlibet, quae deinceps in quadrupla proportione sunt, maximumque spatium aequale est triangulo basim habenti eandem, quam segmentum, et altitudinem eandem, omnia simul spatia minora erunt segmento.

sit enim $A\Delta BE\Gamma$ segmentum linea recta et coni rectanguli sectione comprehensum, et ponantur quotlibet spatia deinceps Z, H, Θ, I, praecedens autem quadruplo maius sit sequenti, maximumque sit Z, et Z aequale sit triangulo basim eandem habenti, quam segmentum, altitudinemque aequalem. dico, segmentum maius esse spatiis Z, H, Θ, I.


totius segmenti uertex sit B et segmentorum reliquorum uertices Δ, E. quoniam igitur

$$AB\Gamma = 8\,AB\Delta = 8\,BE\Gamma \text{ [prop. 21]},$$

adparet, esse $AB\Gamma = 4\,(AB\Delta + BE\Gamma)$. et quoniam

$$AB\Gamma = Z,$$

ideo erit $A\Delta B + BE\Gamma = H$. similiter autem demonstra-



bimus, etiam triangulos in reliquis segmentis inscriptos eandem basim habentes, quam segmenta, altitudinemque eandem

1) Nam $AB\Gamma = 2\,AB\Delta = 2\,(ABE + BE\Delta) = 4\,ABE$.

1 τμᾶμα] τμῆμα 𝔅G, τμηματος A. 19 $A\Delta B$] 𝔅, $AB\Delta$ A. 20 ὅτι ὡς] A, quod 𝔅, ὡς H; fort. ὡς delendum; cfr. p. 304, 19. 24 ταῦτα δὴ] scripsi, τα αυτα δε A𝔅. 30 ἴσα ἐντὶ] 𝔅G, ισων οντων A. τὰ ἐς] scripsi, ες A.

τὰ ὕστερον γενόμενα τμάματα ἐγγραφόμενα τρίγωνα ἴσα τῷ Ι χωρίῳ· σύμπαντα ἄρα τὰ προτεθέντα χωρία ἴσα ἐσσοῦνται πολυγώνῳ τινὶ ἐγγραφέντι εἰς τὸ τμᾶμα. φανερὸν οὖν, ὅτι ἐλάσσονά ἐστι τοῦ τμάματος.

κγ'.

Εἴ κα μεγέθεα τεθέωντι ἑξῆς ἐν τῷ τετραπλασίονι λόγῳ, τὰ πάντα μεγέθεα καὶ ἔτι τοῦ ἐλαχίστου τὸ τρίτον μέρος ἐς τὸ αὐτὸ συντεθέντα ἐπίτριτα ἐσσοῦνται τοῦ μεγίστου.

ἔστω οὖν ὁποσαοῦν μεγέθεα ἑξῆς κείμενα τὰ Α, Β, Γ, Δ, Ε τετραπλασίονα ἕκαστον τοῦ ἑπομένου, μέγιστον δὲ ἔστω τὸ Α, ἔστω δὲ τὸ μὲν Ζ τρίτον τοῦ Β, τὸ δὲ Η τοῦ Γ, τὸ δὲ Θ τοῦ Δ, τὸ δὲ Ι τοῦ Ε. ἐπεὶ οὖν τὸ μὲν Ζ τοῦ Β τρίτον μέρος ἐστίν, τὸ δὲ Β τοῦ Α τέταρτον μέρος ἐστίν, ἀμφότερα τὰ Β, Ζ μέρος τρίτον ἐστὶ τοῦ Α. διὰ τὰ αὐτὰ δὴ καὶ τὰ Η, Γ τοῦ Β καὶ τὰ Θ, Δ τοῦ Γ καὶ τὰ Ι, Ε τοῦ Δ· καὶ τὰ σύμπαντα δὴ τὰ Β, Γ, Δ, Ε, Ζ, Η, Θ, Ι τρίτον μέρος ἐστὶ τῶν συμπάντων τῶν Α, Β, Γ, Δ. ἐντὶ δὲ καὶ αὐτὰ τὰ Ζ, Η, Θ τρίτον μέρος αὐτῶν τῶν Β, Γ, Δ· καὶ τὰ λοιπὰ ἄρα τὰ Β, Γ, Δ, Ε, Ι τοῦ λοιποῦ τρίτον μέρος ἐστὶ τοῦ Α. δῆλον οὖν, ὅτι τὰ σύμπαντα τὰ Α, Β, Γ, Δ, Ε καὶ τὸ Ι, τουτέστι τὸ τρίτον τοῦ Ε, τοῦ Α ἐστιν ἐπίτριτα.

---

2 *Ι*] 𝕭G, ϙω̅ι̅ A. *προτεθέντα*] A, premissa 𝕭. 4 *ἐλάσσονά*] 𝕭, *ελασσον* A. 6 *τεθέωντι*] scripsi, *συντεθεωντι* A𝕭. 11 *τετραπλασίονα*] A; *τετραπλάσιον* 𝕭, *Nizzius*. 16 *δὴ*] A𝕭, fort. *δὲ*. 18 *Η, Θ, Ι*] 𝕭G; *Ε, Θ, Γ* A. 19 *Δ*] *Torellius*; *Δ, Ε* A𝕭.

aequales esse spatio Θ, et triangulos in segmentis deinde ortis inscriptos aequales spatio I; omnia igitur simul spatia data aequalia erunt polygono cuidam in segmento inscripto. ergo manifestum est, minora ea esse segmento.

XXIII.

Si magnitudines quaedam ponuntur in quadrupla deinceps proportione, omnes magnitudines et praeterea tertia pars minimae simul sumptae tertia parte maiores erunt maxima.[1])

ponantur igitur deinceps quotlibet magnitudines A, B, Γ, Δ, E, singulae quadruplo maiores sequenti, et maxima sit A, sit autem $Z = \frac{1}{3} B$, $H = \frac{1}{3} \Gamma$, $\Theta = \frac{1}{3} \Delta$, $I = \frac{1}{3} E$. quoniam igitur est $Z = \frac{1}{3} B$ et $B = \frac{1}{4} A$, erit $B + Z = \frac{1}{3} A$. eadem de causa etiam

$$H + \Gamma = \tfrac{1}{3} B,\ \Theta + \Delta = \tfrac{1}{3} \Gamma,\ I + E = \tfrac{1}{3} \Delta;$$

erit igitur etiam

$$B + \Gamma + \Delta + E + Z + H + \Theta + I = \tfrac{1}{3}(A + B + \Gamma + \Delta).$$

A B Γ Δ E Z H Θ I

est autem etiam $Z + H + \Theta = \frac{1}{3}(B + \Gamma + \Delta)$ [ex hypothesi]; quare etiam $B + \Gamma + \Delta + E + I = \frac{1}{3} A$. ergo adparet, esse $A + B + \Gamma + \Delta + E + I$, h. e.

$$A + B + \Gamma + \Delta + E + \tfrac{1}{3} E = \tfrac{4}{3} A.$$

---


1) Cfr. Quaest. Arch. p. 57—58. idem generaliter demonstrat Euclides Elem. IX, 35 (monente Ludouico Oppermann).

κδʹ.

Πᾶν τμᾶμα τὸ περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς ἐπίτριτόν ἐστι τριγώνου τοῦ τὰν αὐτὰν βάσιν ἔχοντος αὐτῷ καὶ ὕψος ἴσον.

ἔστω γὰρ τὸ *ΑΔΒΕΓ* τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς, τὸ δὲ *ΑΒΓ* τρίγωνον ἔστω τὰν αὐτὰν βάσιν ἔχον τῷ τμάματι καὶ ὕψος ἴσον, τοῦ δὲ *ΑΒΓ* τριγώνου ἔστω ἐπίτριτον τὸ *Κ* χωρίον. δεικτέον, ὅτι ἴσον ἐστὶ τῷ *ΑΔΒΕΓ* τμάματι.

εἰ γὰρ μή ἐστιν ἴσον, ἤτοι μεῖζόν ἐστιν ἢ ἔλασσον. ἔστω πρότερον, εἰ δυνατόν, μεῖζον τὸ *ΑΔΒΕΓ* τμᾶμα τοῦ *Κ* χωρίου. ἐνέγραψα δὴ τὰ *ΑΔΒ*, *ΒΕΓ* τρίγωνα,



ὡς εἴρηται, ἐνέγραψα δὲ καὶ εἰς τὰ περιλειπόμενα τμάματα ἄλλα τρίγωνα τὰν αὐτὰν βάσιν ἔχοντα τοῖς τμαμάτεσσιν καὶ ὕψος τὸ αὐτό, καὶ ἀεὶ εἰς τὰ ὕστερον γινόμενα τμάματα ἐγγράφω δύο τρίγωνα τὰν αὐτὰν βάσιν ἔχοντα τοῖς τμαμάτεσσιν καὶ ὕψος τὸ αὐτό· ἐσσοῦνται δὴ τὰ καταλειπόμενα τμάματα ἐλάσσονα τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει τὸ *ΑΔΒΕΓ* τμᾶμα τοῦ *Κ* χωρίου. ὥστε τὸ ἐγγραφόμενον πολύγωνον μεῖζον ἐσσεῖται τοῦ *Κ*· ὅπερ ἀδύνατον. ἐπεὶ γάρ ἐστιν ἑξῆς κεί-


XXIV.

Quoduis segmentum linea recta et coni rectanguli sectione comprehensum tertia parte maius est triangulo eandem basim habenti, quam segmentum, altitudinemque aequalem.

sit enim $A\Delta BE\Gamma$ segmentum linea recta et coni rectanguli sectione comprehensum, et $AB\Gamma$ triangulus sit eandem basim habens, quam segmentum, altitudinemque aequalem, sit autem $K = \frac{4}{3} AB\Gamma$. demonstrandum est, esse

$$K = A\Delta BE\Gamma.$$

nam si aequale non est, aut maius est aut minus. prius,



si fieri potest, segmentum $A\Delta BE\Gamma$ maius sit spatio K. inscripsi igitur triangulos $A\Delta B$, $BE\Gamma$ ita, ut diximus, et etiam in segmentis reliquis alios triangulos inscripsi eandem basim habentes, quam segmenta, altitudinemque eandem, et semper in segmentis deinde ortis triangulos inscribo eandem basim habentes, quam segmenta, altitudinemque eandem; erunt igitur ⟨aliquando⟩ segmenta reliqua minora excessu, quo segmentum $A\Delta BE\Gamma$ spatium K excedit [prop. 20 coroll.]. itaque polygonum inscriptum maius erit spatio K; quod

9 τῷ] G, e corr. E, το A. 12 $A\Delta BE\Gamma$] B, $A\Delta EB\Gamma$ A. 17 δύο] AB; melius abesset. 20 $A\Delta BE\Gamma$] B, $A\Delta EB\Gamma$ A. 22 γάρ] addidi, om. AB.

μενα χωρία ἐν τῷ τετραπλασίονι λόγῳ, πρῶτον μὲν τὸ ΑΒΓ τρίγωνον τετραπλάσιον τῶν ΑΔΒ, ΒΕΓ τριγώνων, ἔπειτα δὲ αὐτὰ ταῦτα τετραπλάσια τῶν εἰς τὰ ἑπόμενα τμάματα ἐγγραφέντων καὶ ἀεὶ οὕτω, δῆλον, ὡς σύμπαντα τὰ χωρία ἐλάσσονά ἐστιν ἢ ἐπίτριτα τοῦ μεγίστου, τὸ δὲ Κ ἐπίτριτόν ἐστι τοῦ μεγίστου χωρίου. οὐκ ἄρα ἐστὶν μεῖζον τὸ ΑΔΒΕΓ τμᾶμα τοῦ Κ χωρίου.

ἔστω δέ, εἰ δυνατόν, ἔλασσον. κείσθω δὴ τὸ μὲν ΑΒΓ τρίγωνον ἴσον τῷ Ζ, τοῦ δὲ Ζ τέταρτον τὸ Η, καὶ ὁμοίως τοῦ Η τὸ Θ, καὶ ἀεὶ ἑξῆς τιθέσθω, ἕως κα γένηται τὸ ἔσχατον ἔλασσον τᾶς ὑπεροχᾶς, ᾅ ὑπερέχει τὸ Κ χωρίον τοῦ τμάματος, καὶ ἔστω ἔλασσον τὸ Ι· ἔστιν δὴ τὰ Ζ, Η, Θ, Ι χωρία καὶ τὸ τρίτον τοῦ Ι ἐπίτριτα τοῦ Ζ. ἔστιν δὲ καὶ τὸ Κ τοῦ Ζ ἐπίτριτον· ἴσον ἄρα τὸ Κ τοῖς Ζ, Η, Θ, Ι καὶ τῷ τρίτῳ μέρει τοῦ Ι. ἐπεὶ οὖν τὸ Κ χωρίον τῶν μὲν Ζ, Η, Θ, Ι χωρίων ὑπερέχει ἐλάσσονι τοῦ Ι, τοῦ δὲ τμάματος μείζονι τοῦ Ι, δῆλον, ὡς μείζονά ἐντι τὰ Ζ, Η, Θ, Ι χωρία τοῦ τμάματος· ὅπερ ἀδύνατον· ἐδείχθη γάρ, ὅτι, ἐὰν ᾖ ὁποσαοῦν χωρία ἑξῆς κείμενα ἐν τετραπλασίονι λόγῳ, τὸ δὲ μέγιστον ἴσον ᾖ τῷ εἰς τὸ τμᾶμα ἐγγραφομένῳ τριγώνῳ, τὰ σύμπαντα χωρία ἐλάσσονα ἐσσεῖται τοῦ τμάματος. οὐκ ἄρα τὸ ΑΔΒΕΓ τμᾶμα ἔλασσόν ἐστι τοῦ Κ χωρίου. ἐδείχθη δέ, ὅτι οὐδὲ μεῖζον· ἴσον ἄρα ἐστὶν τῷ Κ. τὸ δὲ Κ χωρίον ἐπίτριτόν ἐστι τοῦ τριγώνου τοῦ ΑΒΓ· καὶ τὸ ΑΔΒΕΓ ἄρα τμᾶμα ἐπίτριτόν ἐστι τοῦ ΑΒΓ τριγώνου.

---

2 *τρίγωνον*] A, om. 𝔅. 3 *δὲ*] A, om. 𝔅. *αὐτὰ ταῦτα*] scripsi, *τα αυτα* A, ipsa 𝔅. 8 *δὴ*] A, itaque corr. ex autem 𝔅. *τὸ* — 9 *τῷ* Z] A𝔅; debuit esse *τῷ μὲν ΑΒΓ τριγώνῳ ἴσον τὸ Ζ*. 10 *ἕως κα γένηται*] scripsi, *ωστε καταγε-*

fieri non potest. nam quoniam deinceps posita sunt spatia quaedam in quadrupla proportione, primum triangulus $AB\Gamma$ quadruplo maior triangulis $A\Delta B$, $BE\Gamma$ [prop. 21; cfr. p. 308, 20], deinde hi ipsi quadruplo maiores triangulis in segmentis sequentibus inscriptis, et semper hoc modo, adparet, omnia simul spatia minora esse quam tertia parte maiora maximo [prop. 23], spatium autem K tertia parte maius est maximo spatio. itaque segmentum $A\Delta BE\Gamma$ maius non est spatio K.

sit autem, si fieri potest, minus. ponatur igitur

$$Z = AB\Gamma,\ H = \tfrac{1}{4} Z,\ \Theta = \tfrac{1}{4} H,$$

et deinceps spatia ponantur, dum fiat ultimum spatium minus excessu, quo spatium K segmentum excedit [Eucl. X, 1], sitque ⟨hoc excessu⟩ minus I; sunt igitur

$$Z + H + \Theta + I + \tfrac{1}{3} I = \tfrac{4}{3} Z \text{ [prop. 23].}$$

erat autem etiam $K = \frac{4}{3} Z$; itaque

$$K = Z + H + \Theta + I + \tfrac{1}{3} I.$$

iam quoniam spatium K spatia Z, H, Θ, I excedit spatio minore, quam est spatium I, segmentum uero spatio maiore, quam est I, adparet, spatia Z, H, Θ, I maiora esse segmento; quod fieri non potest; nam demonstratum est, si spatia quotlibet deinceps data sint in quadrupla proportione, et maximum triangulo in segmento inscripto aequale sit, omnia simul spatia minora fore segmento [prop. 22]. itaque segmentum $A\Delta BE\Gamma$ minus non est spatio K. demonstratum autem est, id ne maius quidem esse; itaque spatio K aequale est. uerum spatium K tertia parte maius est triangulo $AB\Gamma$; ergo etiam segmentum $A\Delta BE\Gamma$ tertia parte maius est triangulo $AB\Gamma$.

νηται A, ut fiat 𝔅. **13** *δὴ*] scripsi, *δε* A𝔅. **15** *ἄρα*] A, ergo est 𝔅. **16** *τῶν*] GH, *τῳ* A. **20** *ἐὰν*] A, om. 𝔅. **26** *ἄρα*] 𝔅, om. A. In fine: *Αρχιμηδους τετραγωνισμος* A (*παραβολης* add. D), 'explicit liber qui dicitur quadratura parabole (in ras.) 𝔅. Deinde add. D: ΕΥΤΥΧΟΙΗΣ | ΛΕΟΝ ΓΕΩΜΕΤΡΑ · — | + *πολλοὺς ἐς λυκάβαντας ἴοις πολὺ φίλτατε μούσαις*: ∼

DE CORPORIBUS FLUITANTIBUS

LIBRI I—II.


88v col. 2

Ἀρχιμήδους Ὀχουμένων α'.

Ὑποκείσθω τὸ ὑγρὸν φύσιν ἔχον | τοιαύταν, ὥστε τῶν μερέων αὐτοῦ | τῶν ἐξ ἴσου κειμένων καὶ συνε- | χέων ἐόντων ἐξωθεῖσθαι τὸ ἧσσον | θλιβόμενον ὑπὸ τοῦ μᾶλλον θλι|βλομένου, καὶ ἕκαστον δὲ τῶν μερέων | αὐτοῦ θλίβεσθαι τῷ ὑπεράνω αὐ|τοῦ ὑγρῷ κατὰ κάθετον ἐόντι, εἴ | κα μὴ τὸ ὑγρὸν ᾖ καθειργμένον ἔν | τινι καὶ ὑπὸ ἄλλου τινὸς θλιβόμε|νον.

α'.

Εἴ κα ᾖ ἐπιφάνειά τις ἐπιπέ|δῳ τεμνομένα διά τινος ἀεὶ τοῦ | αὐτοῦ σαμείου τὰν τομὰν ποιέοντι | *circuli periferiam centrum habentem signum, per quod plano secatur, sperae erit superficies.*



sit enim superficies aliqua secta per signum K plano semper sectionem faciente circuli periferiam, centrum autem ipsius K. si igitur ipsa superficies non est sperae superficies, non erunt omnes quae a centro ad superficiem occurrentes lineae aequales. sint itaque quae A, B, G, D signa in superficie, et inaequales quae AK, KB, per ipsas autem KA,

---

C𝔅.

1 liber Archimedis de insidentibus aque 𝔅. 4 ἧσσον C. 7 ἐόντι] 𝔅, Arabs (Wiedemann, Sitzungsber. d. physik.-med. Sozietät in Erlangen XXXVIII p. 154), διότι C. μὴ] C, Arabs; om. 𝔅. καθειργμένον] Arabs, καθιέμενον 𝔅C. 10 Εἴ κα ᾖ] scripsi, καὶ C, si 𝔅. 11 ποιέοντι] des. C.

De corporibus fluitantibus liber I.

Supponatur, humidum eius modi esse naturae, ut ex partibus eius ex aequo positis continuisque minus pressa a magis pressa propellatur, et praeterea singulae partes eius humido supra perpendiculariter posito premantur, nisi humidum uase aliquo contineatur et ab alia aliqua re prematur.

I.

Si superficies est aliqua plano per idem semper punctum secta, quod sectionem facit

---

KB planum educatur et faciat sectionem in superficie lineam DABG; circuli ergo est ipsa, centrum autem ipsius K, quoniam supponebatur superficies talis. non sunt ergo inaequales lineae KA, KB; necessarium igitur est, superficiem esse sperae superficiem.


II.

Omnis humidi consistentis ita, ut maneat inmotum, superficies habebit figuram sperae habentis centrum idem cum terra.

Intelligatur enim humidum consistens ita, ut maneat non motum, et secetur ipsius superficies plano per centrum terrae, sit autem terrae centrum K, superficiei autem sectio linea ABGD. dico itaque, lineam ABGD circuli esse periferiam, centrum autem ipsius K.

si enim non est, rectae a K ad lineam ABGD occurrentes non erunt aequales. sumatur itaque aliqua recta, quae est quarundam quidem a K occurrentium ad lineam ABGD maior, quarundam autem minor, et centro quidem K, distantia autem sumptae lineae circulus describatur; cadet igitur periferia circuli habens hoc quidem extra lineam ABGD, hoc autem intra, quoniam quae ex centro quarundam quidem a K

occurrentium ad lineam ABGD est maior, quarundam autem minor. sit igitur descripti circuli periferia quae ZBH, et a B ad K recta ducatur, et copulentur quae ZK, KEL aequales facientes angulos, describatur autem et centro K periferia quaedam quae XOP in plano et in humido; partes itaque humidi quae secundum XOP periferiam ex aequo sunt positae et continuae inuicem. et premuntur quae quidem secundum XO periferiam humido quod secundum ZB locum, quae autem secundum periferiam OP humido quod secundum BE locum; inaequaliter igitur premuntur partes humidi quae secundum periferiam XO ei quae



56r col. 1 [ἢ] κατὰ τὰν ΟΠ· ὥστε ἐξωθήσον|ται τὰ ἧσσον θλιβόμενα ὑπὸ τῶν | μᾶλλον θλιβομένων· οὐ μένει ἄρα | τὸ ὑγρόν. ὑπέκειτο δὲ καθεστα|κὸς εἶμεν ὥστε μένειν ἀκίνη|τον· ἀναγκαῖον ἄρα τὰν ΑΒΓΔ | γραμμὰν κύκλου περιφέρειαν εἶ|μεν καὶ κέντρον αὐτᾶς τὸ Κ. ὁμοί|ως δὴ δειχθήσεται καί, ὅπως κα | ἄλλως ἁ ἐπιφάνεια τοῦ ὑγροῦ ἐ|πιπέδῳ τμαθῇ διὰ τοῦ κέντρου | τᾶς γᾶς, ὅτι ἁ τομὰ ἐσσεῖται κύ|κλου περιφέρεια, καὶ κέντρον | αὐτᾶς ἐσσεῖται, ὃ καὶ τᾶς γᾶς | ἐστι κέντρον. δῆλον οὖν, ὅτι ἁ ἐπιφά|νεια τοῦ ὑγροῦ καθεστακότος | ἀκινήτου σφαίρας ἔχει τὸ σχῆ|μα τὸ αὐτὸ κέντρον ἐχούσας τᾷ | γᾷ, ἐπειδὴ τοιαύτα ἐστίν, ὥστε | ⟨διὰ τοῦ
49v col. 1 αὐτοῦ σαμείου τμαθεῖσ⟩|αν τὰν τομὰν ποιεῖν περιφέρει|αν κύκλου κέντρον ἔχοντος τὸ | σαμεῖον, δι' οὗ τέμνεται τῷ ἐπιπέδῳ.

γ'.

Τῶν στερεῶν μεγεθέων τὰ | ἰσοβαρέοντα τῷ ὑγρῷ ἀφεθέν|τα εἰς τὸ ὑγρὸν καταβασοῦνται, | ὥστε τᾶς ἐπι-

secundum *ΟΠ*; quare minus pressa a magis pressis expellentur [p. 318, 1 sqq.]; itaque humidum non manet. supposuimus autem, id ita constare, ut immotum maneat; itaque necesse est, lineam *ΑΒΓΔ* ambitum circuli esse centrumque eius *K*. similiter igitur demonstrabimus, quocunque alio modo superficies humidi plano per centrum terrae secta fuerit, sectionem sic quoque ambitum circuli fore centrumque eius idem fore, quod etiam terrae centrum sit. ergo adparet, superficiem humidi immoti constantis sphaerae figuram habere idem centrum habentis, quod terra, quoniam eius modi est, ut per idem punctum secta sectionem efficiat ambitum circuli centrum habentis punctum, per quod plano secatur [prop. I].

III.

Solidarum magnitudinum quae eandem grauitatem habent ac humidum, in humidum demissae ita mergentur, ut super-

---

3 *ZK*] *hk*[z] 𝔅. 7 et (alt.)] addidi, om. 𝔅. 9 *ZB*] 𝔅, mg. *xoba*. 12 *BE*] 𝔅, mg. *pobl*. 16 ἢ] inc. C; si uerum est, aliam huius loci formam significat, quam quae in 𝔅 est. ὥστε] C, quare n̄ 𝔅 (n̄ del.). 17 οὐ — ἄρα] C, non ergo constare fecimus aliquod 𝔅, mg. ου μη⸔τι. 18 εἶμεν] C, om. 𝔅. 21 δὴ] C, autem 𝔅. ὅπως κα ἄλλως] scripsi, ọ̔πως καὶ̣ ἄλλως C; quo 𝔅 seq. lac., in qua postea ins. modocumque aliter, mg. και πως ϛ̀ αλλως. 25 ὅτι] quod 𝔅, om. C. 27 τᾷ γᾷ] 𝔅, τᾶς γᾶς C. διὰ — 28 τμαθεῖσαν] secta per idem signum 𝔅. 29 κέντρον] C, mg. 𝔅. 30 seq. fig. in C. 31 γ′] 𝔅, euan. C. 32 ἰσοβαρέοντα] aequalis molis et aequalis ponderis 𝔅. 33 καταβασοῦνται] scripsi, καταβαροῦνται C, demergentur 𝔅.

φανείας τᾶς τοῦ ὑ|γροῦ μὴ ὑπερέχειν μηδέν, καὶ | οὐκέτι οἰσθήσονται ἐπὶ τὰ κάτω.

56r col. 2 ἀφείσθω γάρ τι στερεὸν μέ|γεθος εἰς τὸ ὑγρὸν τῶν ἰσοβαρέων | τῷ ὑγρῷ, καί, εἰ δυνατόν, ὑπερεχέ|τω τι αὐτοῦ τᾶς τοῦ ὑγροῦ ἐπιφα|νείας, καθεστάτω δὲ τὸ ὑγρόν, ὥστε | μένειν ἀκίνητον. νοείσθω δή τι ἐ|πίπεδον ἐκβεβλημένον διά τε | τοῦ κέντρου τᾶς γᾶς καὶ τοῦ ὑγροῦ | καὶ διὰ τοῦ στερεοῦ μεγέθεος, τομὰ | δὲ ἔστω τᾶς μὲν ἐπιφανείας τοῦ ὑ|γροῦ ἁ ΑΒΓΔ περιφέρεια, τοῦ δὲ στερεοῦ μεγέθεος τὸ ΕΖΗΘ σχῆ|μα, κέντρον δὲ τᾶς γᾶς τὸ Κ. ἔστω | δὴ τοῦ μὲν στερεοῦ τὸ μὲν ΒΓΗΘ | ἐν τῷ ὑγρῷ, τὸ δὲ ΒΕΖΓ ἐκτός. νο-|είσθω δὴ τὸ στερεὸν σχῆμα περιλαμ|βανόμενον πυραμοειδεῖ βάσιν | μὲν ἔχοντι τὸ παραλληλόγραμ|μον τὸ ἐν τᾷ ἐπιφανείᾳ τοῦ ὑ|γροῦ, κορυφὰν δὲ τὸ κέντρον τᾶς γᾶς, | ⟨τομὰ δὲ ἔστω τοῦ τε ἐπιπ⟩έδου, ἐν ᾧ | 49v col. 2 ἐστιν ἁ ΑΒΓΔ περιφέρεια, καὶ τῶν | τᾶς πυραμίδος ἐπιπέδων αἱ | ΚΑ, ΚΜ. γεγράφθω τις ἄλλας σφαί-|ρας ἐπιφάνεια περὶ κέντρον | τὸ Κ ἐν τῷ ὑγρῷ τῷ ὑπὸ τοῦ ΕΖΗΘ | καὶ τεμνέσθω ἐπιπέδῳ, λελάφθω | δέ τις καὶ ἄλλα πυραμὶς ἴσα καὶ ὁ|μοία τᾷ περιλαμβανούσᾳ τὸ | στερεὸν συνεχὴς αὐτᾷ, τομὰ δὲ | ἔστω τῶν ἐπιπέδων αὐτᾶς αἱ | ΚΜ, ΚΝ, καὶ ἐν τῷ ὑγρῷ νοείσθω | τι μέγεθος τοῦ ὑγροῦ ἀπολαμ|βανόμενον τὸ ΡΣΤΥ ἴσον καὶ ὅ|μοιον τῷ στερεῷ τῷ κατὰ τὰ | Β,

---

3 στερεὸν] C, om. 𝔅. 4 τι αὐτοῦ] C, ipsa 𝔅. 6 δή] C, autem 𝔅. 8 δὲ] 𝔅, om. C. 9 περιφέρεια] C, om. 𝔅. 10 σχῆμα] σχᾶμα C; insidentia 𝔅, mg. σχημα. 11 δὴ] C, autem 𝔅. μὲν στερεοῦ] C, solidae quidem magnitudinis 𝔅. 13 δὴ] C, et 𝔅. πυραμοειδεῖ] C, pyramide 𝔅. 16 τομὰ — ᾧ] sectio autem sit plani in quo 𝔅. 17 πυραμίδος] 𝔅, πυραμίδας C. 18 τις] C, autem quaedam 𝔅. 19 ἐπιφά-

ficiem humidi non excedant, nec ultra ad inferiora ferentur.[1])

demittatur enim in humidum solida aliqua magnitudo earum, quae eandem grauitatem habent ac humidum, et, si fieri potest, pars eius superficiem humidi excedat, humidum autem ita constet, ut immotum maneat. iam uero planum et per centrum terrae humidique et per magnitudinem solidam eductum fingatur, et sit superficiei humidi sectio arcus $AB\Gamma\Delta$, solidae autem magnitudinis figura $EZH\Theta$, centrum uero terrae K. solidae igitur magnitudinis pars $B\Gamma H\Theta$ in humido sit, $BEZ\Gamma$ autem extra. fingatur igitur solida magnitudo quasi quadam pyramide comprehensa basim habenti parallelogrammum in superficie humidi, uerticem autem centrum terrae, et sectio plani, in quo est arcus $AB\Gamma\Delta$, planorumque pyramidis sit $K\Lambda$, KM. describatur superficies aliqua alius sphaerae circum centrum K in humido, quod est sub $EZH\Theta$, planoque secetur, sumatur autem etiam alia quaedam pyramis ei, quae solidam magnitudinem comprehendit, aequalis et similis cum ea continue coniuncta, sectio autem planorum eius sit KM, KN, et in humido magnitudo quaedam humidi seclusa fingatur $P\Sigma T\Upsilon$ solidae mag-

1) Cfr. Hero, Pneum. I p. 24, 11: *ἀπεδείχθη γὰρ Ἀρχιμήδει ἐν τοῖς Ὀχουμένοις, ὅτι τὰ ἰσοβαρῆ τῷ ὑγρῷ σώματα ἀφεθέντα εἰς τὸ ὑγρὸν οὔτε ὑπερέξει τοῦ ὑγροῦ οὔτε καταδύσεται, οὐδ' ἄρα θλίψει τὰ ὑποκείμενα.*

νεια] 𝔅, *ἐπιφανείας* C. *τῷ* (alt.)] C, om. 𝔅. 20 *καὶ τεμνέσθω ἐπιπέδῳ*] *καὶ τεμνέσθω ἐπιπέδου* C, quae *xop* secetur (corr. ex secentur) hoc a superficie plani (mg. add. secundum *xop*) 𝔅. *δέ*] 𝔅, om. C. 22 *αὐτᾷ*] 𝔅, *αὐτᾶς* C. 23 *ἐν*] 𝔅, om. C. 25 *τῷ στερεῷ τῷ*] 𝔅, *τῶν στερεῶν* C. fig. a 𝔅 sumpta.

Η, Θ, Γ, ὅ ἐστιν αὐτοῦ ἐν τῷ ὑγρῷ· | τὰ δὴ μέρεα 56r col. 1 *τοῦ ὑγροῦ τά τε ἐν | τᾳ πρώτᾳ πυραμίδι τὰ ὑπὸ | τὰν ἐπιφάνειαν, ἐν ᾱ ἐστιν ἁ ΞΟ | περιφέρεια, καὶ τὰ ἐν τᾳ ἑτέρᾳ, | ἐν ᾱ ἐστιν ἁ ΠΟ, ἐξ ἴσου τέ ἐντι κεί-| μενα καὶ συνεχέα. οὐχ ὁμοίως δὲ | θλίβονται· τὸ μὲν γὰρ κατὰ τὰν | ΞΟ θλίβεται τῷ στερεῷ τῷ ΘΗ|ΕΖ καὶ τῷ ὑγρῷ τῷ μεταξὺ τᾶν | ἐπιφανειᾶν τᾶν κατὰ τὰς ΞΟ, | ΛΜ καὶ τῶν τᾶς πυραμίδος ἐ|πιπέδων, τὸ δὲ κατὰ τὰν ΠΟ τῷ | ὑγρῷ τῷ μεταξὺ τᾶν ἐπιφα|νειᾶν τᾶν κατὰ τὰς ΠΟ, ΜΝ καὶ | τῶν τᾶς πυραμίδος ἐπιπέδων. ἔλασσον δὲ ἐσσεῖται τὸ βάρος τοῦ ὑ|γροῦ τοῦ κατὰ τὰς ΜΝ, ΟΠ· τὸ | μὲν γὰρ κατὰ τὸ ΡΣΤΥ ἔλασσόν | ἐστι τοῦ ΕΖΗΘ στερεοῦ· αὐτῷ γὰρ | τῷ κατὰ τὸ ΗΒΓΘ ἴσον ἐστὶν διὰ | τὸ τῷ μεγέθει ἴσον* 49r col. 1 *εἶμεν καὶ ἰ|σοβαρὲς ὑποκεῖσθαι τὸ στερεὸν | ⟨τῷ ὑγρῷ· τὸ δὲ λοιπὸν τῷ λοιπῷ⟩ | ἴσον ἐστί. δῆλον οὖν, ὅτι ἐξω-| θήσεται τὸ μέρος τὸ κατὰ τὰν | ΟΠ περιφέρειαν ὑπὸ τοῦ κατὰ | τὰν ΟΞ περιφέρειαν, καὶ οὐκ ἐσσεῖ|ται τὸ ὑγρὸν ἀκίνητον. ὑ|πόκειται δὲ ἀκίνητον ἐόν· οὐκ ἄ-| ρα ὑπερέξει τᾶς τοῦ ὑγροῦ ἐπι|φανείας οὐδὲν τοῦ στερεοῦ με|γέθεος. καταδὺν δὲ τὸ στερε|ὸν οὐκ οἰσθήσεται ἐς τὰ κάτω· | ὁμοίως γὰρ πάντα θλιβησοῦντι | τὰ μέρεα τοῦ ὑγροῦ τὰ ἐξ ἴσου | κείμενα διὰ τὸ ἰσοβαρέα εἶμεν | τὸ στερεὸν καὶ τὸ ὑγρόν.*

δ'.

56v col. 2 *Τῶν στερεῶν μεγεθέων ὅ κα | κουφότερον ᾖ τοῦ ὑγροῦ, ἀφεθὲν | ἐς τὸ ὑγρὸν οὐ καταδύσεται ὅλον, |*

---

1 *δὴ*] C, autem 𝔅. 2 *τὰ*] *τα·* C. 3 *ΞΟ*] 𝔅, *ΞΘ* C. *περιφέρεια*] C, om. 𝔅. *τὰ*] 𝔅, *τὸ* C. 4 *ἐστιν*] C, om. 𝔅. 5 *οὐχ*] C, mg. 𝔅. *τὸ*] C, quae 𝔅. 6 *τὰν*] scripsi, *τῶ|* C.

nitudini *BHΘΓ* aequalis et similis, quae est pars eius in humido posita; partes igitur humidi, quae in prima pyramide sunt sub ea superficie positae, in qua est *ΞO* arcus, et quae in altera sunt, in qua est *ΠO*, ex aequo positae sunt et continuae. dissimiliter autem premuntur; nam, quod ad *ΞO* positum est, premitur magnitudine solida *ΘHEZ* humidoque inter superficies ad *ΞO*, *ΛM* et plana pyramidis posito, quod uero ad *ΠO* positum est, humido inter superficies ad *ΠO*, *MN* planaque pyramidis posito. minor autem erit grauitas humidi inter *MN*, *OΠ* positi; nam, quod ad *PΣTΥ* positum est, minus est magnitudine solida *EZHΘ* (parti enim eius ad *HBΘΓ* positae aequale est, quia magnitudine est aequale solidaque magnitudo eiusdem grauitatis supponitur ac humidum), et reliquum reliquo aequale est. adparet igitur, partem ad arcum *OΠ* positam a parte ad arcum *OΞ* posita propelli [p. 318, 1 sq.], nec humidum immotum erit. supposuimus autem, immotum id esse; ergo nulla pars solidae magnitudinis superficiem excedet. demersa uero magnitudo solida ad inferiora non feretur; nam omnes partes humidi ex aequo positae similiter prementur, quia solida magnitudo humidumque aequalis grauitatis sunt.

IV.

Solidarum magnitudinum quae leuior est humido, in humidum demissa non demergetur tota, sed pars eius extra superficiem humidi erit.

---

7 *τὰς*] scripsi, *ταν* C. 8 *ΞO*] 𝔅, *ΞΘ* C. *τὸ*] C, quae 𝔅. 9 *ΠO*] C, *po* solido *rscy* et 𝔅. *τῷ* (alt.)] 𝔅, *ταν* C. 11 *ἔλασσον*] *ἐλάσσων* C. *δὲ*] 𝔅, *δὴ* C. 12 *OΠ*] C, *op* eo quod secundum *lm xo* 𝔅. 13 *αὐτῷ*] C, ipsius 𝔅. 15 *εἶμεν*] C, om. 𝔅. *τῷ ὑγρῷ* — 16 *λοιπῷ*] cum humido, reliquum autem reliquo 𝔅. 16 *ἴσον*] scripsi, *ἄνισον* 𝔅C. *οὖν*] C, igitur mg. 𝔅. 17 *OΠ*] 𝔅, *NOΠ* C. 22 *θλιβησοῦντι*] scripsi, prementur 𝔅, *ἐσσοῦνται* C. 23 *ἰσοβαρέα*] *ἰσοβαρῃ* C, aeque graue 𝔅. 24 *τὸ στερεὸν*] 𝔅, *τὸ ὑγρὸν* C. *καὶ τὸ ὑγρὸν*] C?, om. 𝔅. seq. fig. C. 26 *ὅ*] 𝔅, *εἴ* C.


ἀλλὰ ἐσσεῖταί τι αὐτοῦ ἐκτὸς τᾶς | τοῦ ὑγροῦ ἐπιφανείας.

ἔστω γὰρ | στερεὸν μέγεθος κουφότερον | τοῦ ὑγροῦ καὶ ἀφεθὲν ἐς τὸ ὑγρὸν | δεδυκέτω ὅλον, εἰ δυνατόν, καὶ μη|δὲν αὐτοῦ ἔστω ἐκτὸς τᾶς τοῦ ὑγροῦ ἐπιφανείας, κατεστακέτω | δὲ τὸ ὑγρόν, ὥστε μένειν ἀκίνητον. | νοείσθω δή τι ἐπίπεδον ἐκβε|βλημένον διὰ τοῦ κέντρου τᾶς | γᾶς καὶ διὰ τοῦ ὑγροῦ καὶ τοῦ | στερεοῦ μεγέθεος, τεμνέσθω | δὲ ὑπὸ τοῦ ἐπιπέδου τούτου ἡ μὲν | τοῦ ὑγροῦ ἐπιφάνεια κατὰ τὰν | ΑΒΓ περιφέρειαν, τὸ δὲ στερεὸν | μέγεθος κατὰ τὸ σχῆμα, ἐν ᾧ Ζ, κέν|τρον δὲ ἔστω τᾶς γᾶς τὸ Κ, νοείσθω | 49r col. 2 *δέ τις πυραμὶς περιλαμβάνου|σα τὸ Ζ σχῆμα, καθ' ἃ καὶ πρότε|ρον, κορυφὰν ἔχουσα τὸ Κ σαμεῖ|ον, τεμνέσθω δὲ αὐτᾶς τὰ ἐπίπε|δα ὑπὸ τοῦ ἐπιπέδου τοῦ ΑΒΓ κατὰ | τὰς ΑΚ, ΚΒ, λελάφθω δέ τις καὶ | ἄλλα ἴσα πυραμὶς καὶ ὁμοία ταύ|τα, τεμνέσθω δὲ αὐτᾶς τὰ ἐπίπε|δα ὑπὸ τοῦ ἐπιπέδου κατὰ τὰς | ΚΒ, ΚΓ, γεγράφθω δέ τις καὶ ἄλλας | σφαίρας ἐπιφάνεια ἐν τῷ ὑγρῷ | περὶ κέντρον τὸ Κ, ὑποκάτω δὲ τοῦ | στερεοῦ μεγέθεος, τεμνέσθω δ' αὔ|τα ὑπὸ τοῦ αὐτοῦ ἐπιπέδου κα|τὰ τὰν ΞΟΠ περιφέρειαν, νοείσθω | δὲ καὶ μέγεθος ἀπολαμβανό|μενον τοῦ ὑγροῦ τὸ κατὰ* 55r col. 1 *τὸ Η ἐν τᾷ | ὕστερον πυραμίδι ἴσον τῷ κατὰ | τὸ Ζ στερεῷ· τὰ δὴ μέρεα τοῦ ὑ|γροῦ τοῦ ἐν τᾷ πρώτᾳ πυρα|μίδι τὰ ὑπὸ τὰν ἐπιφάνειαν τὰν | κατὰ τὰν ΞΟ περιφέρειαν καὶ τοῦ | ἐν τᾷ δευτέρᾳ τὰ ὑπὸ τὰν ἐπι-| φάνειαν τὰν κατὰ τὰν ΟΠ περι|φέρειαν ἐξ ἴσου τέ ἐντι κείμενα | καὶ συνεχέα ἀλλάλοις. οὐχ ὁμοίως | δὲ*

---

7 *δή*] C, autem 𝔅. 10 *ΑΒΓ περιφέρειαν*] C, superficiem *abgd* 𝔅. 12 *κέντρον* — 13 *τις*] centrum autem

sit enim solida magnitudo leuior humido et in humidum demissa demergatur tota, si fieri potest, neue ulla pars eius extra superficiem humidi sit, constet autem humidum ita, ut immotum maneat. fingatur igitur eductum planum aliquod per centrum terrae et per humidum solidamque magnitudinem, seceturque hoc plano superficies humidi secundum arcum *ΑΒΓ*, solida autem magnitudo secundum figuram, in qua *Z*, et centrum terrae sit *K*, fingatur autem pyramis quaedam figuram *Z* comprehendens, sicut etiam antea [p. 322, 12 sqq.], uerticem habens punctum *K*, plana autem eius plano *ΑΒΓ* secundum *AK*, *KB* secentur, et alia quoque pyramis illi aequalis et similis sumatur, planaque eius plano secundum *KB*, *ΚΓ* secentur, describatur autem in humido alius quoque sphaerae superficies aliqua circa centrum *K*, solida autem magnitudine inferius, et secetur eodem plano secundum arcum *ΞΟΠ*, fingatur autem etiam magnitudo humidi, in qua *H*, in altera pyramide seclusa solidae magnitudini, in qua *Z*, aequalis; partes igitur humidi in priore pyramide comprehensi, quae sub superficie ad arcum *ΞO* positae sunt, partesque humidi in altera pyramide comprehensi, quae sub superficie ad arcum *ΟΠ* positae sunt, ex aequo sunt positae et inter se continuae. dissimiliter autem premuntur; nam



terrae sit *k*, intelligatur autem quaedam 𝔅. 13 *καθ' ἃ*] C, secundum quod 𝔅. 15 *ὑπὸ*] C, a superficie 𝔅. 18 *ἐπιπέδου*] C, plano *abg* 𝔅. 21 *τεμνέσθω δ'*] C, seceturque 𝔅. 22 *περιφέρειαν*] C, om. 𝔅. 23 *τὸ*] 𝔅, om. C. 24 *τῷ*] 𝔅, *τὸ* C. 25 *στερεῷ*] 𝔅, *στερεόν* C. *δὴ*] scripsi, *δὲ* 𝔅C. 26 *τὰν ἐπιφάνειαν*] C, superficiebus 𝔅. *τὰν*] 𝔅, *τὰ* C. 27 *περιφέρειαν*] C, superficiem 𝔅. *τοῦ*] scripsi, *τὸ* 𝔅C. *τὰ*] 𝔅, *τῶν* C. *τὰν ἐπιφάνειαν*] C, superficiebus 𝔅. 28 *τὰν* (alt.)] *τὸν* C. *περιφέρειαν*] C, superficiem 𝔅. fig. a 𝔅 sumpta.

θλίβονται· τὸ μὲν γὰρ ἐν τᾷ πρώ|τα πυραμίδι θλίβεται τῷ κατὰ | τὸ Z στερεῷ μεγέθει καὶ τῷ περιέ-| χοντι ὑγρῷ αὐτὸ καὶ ἐόντι ἐν τῷ | τόπῳ τᾶς πυραμίδος τῷ κατὰ | τὰ A, B, O, Ξ, τὸ δ' ἐν τᾷ ἑτέρα πυρα-| μίδι θλίβεται τῷ ὑγρῷ τῷ πε|ριέχοντι αὐτὸ καὶ ἐόντι τᾶς πυρα|μίδος ἐν τῷ τόπῳ τῷ κατὰ | τὰ Π, O, B, Γ, 50r col. 1 *ἔστι δὲ τὸ βάρος τὸ κατὰ | ⟨τὸ Z ἔλασσον τοῦ βάρεος τοῦ κατὰ τὸ⟩ H, ἐπειδὴ τῷ μὲν μεγέθει ἴσον | ἐστίν, κουφότερον δὲ ὑπόκειται | τὸ στερεὸν μέγεθος εἶμεν τοῦ ὑ|γροῦ, τὰ δὲ τοῦ περιέχοντος ὑγροῦ τὰ | Z, H μεγέθεα ἐν ἑκατέρα τᾶν πυρα|μίδων ἴσα· μᾶλλον οὖν θλιβή|σεται τὸ μέρος τοῦ ὑγροῦ τὸ ὑπὸ | τὰν ἐπιφάνειαν τὰν κατὰ τὰν | OΠ περιφέρειαν· ἐξωθήσει οὖν | τὸ ἧσσον θλιβόμενον, καὶ οὐ με|νεῖ τὸ ὑγρὸν ἀκίνητον. ὑπέκει|το δέ· οὐκ ἄρα καταδύσεται ὅλον, | ἀλλ' ἐσσεῖταί τι αὐτοῦ ἐκτὸς τᾶς τοῦ ὑγροῦ ἐπιφανείας.*

ε΄.

55r col. 2 *Τῶν στερεῶν μεγεθέων ὅ κα ᾖ κου|φότερον τοῦ ὑγροῦ, ἀφεθὲν εἰς τὸ ὑ|γρὸν ἐς τοσοῦτο καταδύσεται, ὥστε | ταλικοῦτον ὄγκον τοῦ ὑγροῦ, ἁλίκος | ἐστὶν ὁ τοῦ καταδεδυκότος ὄγκος, | ἴσον βάρος ἔχειν ὅλῳ τῷ μεγέθει.*

κατεσκευάσθω ταὐτὰ τοῖς πρότε|ρον, καὶ ἔστω τὸ ὑγρὸν ἀκίνητον, | ἔστω δὲ κουφότερον τοῦ ὑγροῦ τὸ EZ|HΘ μέγεθος. ἐπεὶ οὖν ἀκίνητόν ἐστιν | τὸ ὑγρόν, ὁμοίως θλιβήσεται τὰ | μέρεα αὐτοῦ τὰ ἐξ ἴσου κείμενα· | ὁμοίως ἄρα θλιβήσεται τὸ ὑγρὸν | τὸ ὑπὸ τὰν ἐπιφάνειαν τὰν κα|τὰ τὰς ΞO καὶ ΠO περιφερείας·

---

1 τὸ] C, quae 𝔅. 4 τῷ] C, quae 𝔅. τὸ] C, quae 𝔅. 5 a solida magnitudine quae secundum *hb* mg. 𝔅. αὐ-

quod in prima pyramide est, premitur solida magnitudine *Z* humidoque eam comprehendenti et in spatio pyramidis ad *A*, *B*, *O*, *Ξ* posito, quod autem in altera pyramide est, premitur humido id comprehendenti et in spatio pyramidis ad *Π*, *O*, *B*, *Γ* posito, grauitas autem magnitudinis *Z* minor est grauitate magnitudinis *H*, quoniam magnitudine aequales sunt, et supposuimus, solidam magnitudinem leuiorem esse humido, grauitates autem humidi magnitudines *Z*, *H* comprehendentis in utraque pyramide aequales sunt; itaque pars humidi sub superficie ad arcum *OΠ* posita magis premetur; quare partem minus pressam propellet, nec humidum manebit immotum [p. 318, 1 sq.]. at hoc supposuimus; ergo non demergetur tota, sed pars eius extra superficiem humidi erit.

V.

Solidarum magnitudinum quae leuior est humido, in humidum demissa usque eo demergetur, ut tanta moles humidi, quanta est moles partis demersae, aequalem grauitatem habeat toti magnitudini.

eadem comparentur, quae antea, et humidum immotum sit, magnitudo autem *EZHΘ* leuior sit humido. quoniam igitur humidum immotum est, partes eius ex aequo positae similiter prementur [p. 318, 1 sq.]; itaque humidum sub superficie ad arcus *ΞO*, *ΠO* positum similiter premitur;

τὸ] C, ipsam 𝕭. 6 τὰ] scripsi, τὸ C. 7 δὲ] autem et 𝕭. τὸ Z — 8 τὸ] *z* minor grauitate humidi quod secundum 𝕭. 8 *H*] 𝕭, *ZH* C. 10 τὰ δὲ — ὑγροῦ] τὰ δὲ περιέχοντος ὑγροῦ C; humidi continentis post lac. 7 litt. 𝕭, mg. ταϲ δε, postea add. autem. 11 ἐν ἑκατέρᾳ] scripsi, ἑκατέρα C, utraque 𝕭. ἴσα] aequalis 𝕭. 12 τὰν ἐπιφάνειαν] τὴν ἐπιφάνειαν C, superficiebus 𝕭. 14 ἧσσον] 𝕭, ἴσον C. 15 δέ] C, autem non motum 𝕭. 16 ἐσσεῖταί] ἔσσεται C. seq. fig. C. 19 ἐς τοσοῦτο] scripsi, τοσοῦτο C, in tanto 𝕭. 20 ὥστε] ut 𝕭, ὡς τὸν C. 23 κατεσκευάσθω] κατασκευάσθω C, disponantur autem 𝕭. 25 ἐπεὶ] C, si 𝕭. 27 τὰν ἐπιφάνειαν] C, superficiebus 𝕭. 28 τὰς *ΞO*] τα· *NΞO* C. περιφερείας] περιφέρειαν C.

ὥσ|τε ἴσον ἐστὶ τὸ βάρος, ᾧ θλίβον|ται. ἔστι δὲ καὶ τοῦ ὑγροῦ τὸ βάρος | τοῦ ἐν τᾷ πρώτᾳ πυραμίδι χωρὶς | τοῦ $BH\Theta\Gamma$ στερεοῦ ἴσον τῷ βάρει τῷ | ⟨τοῦ 50ʳ col. 2 ἐν τᾷ ἑτέρᾳ πυραμίδι⟩ | χωρὶς τοῦ $P\Sigma T\Upsilon$ ὑγροῦ· δῆλον οὖν, ὅτι | τὸ τοῦ $EZH\Theta$ μεγέθεος βάρος ἴσον | ἐστὶ τῷ τοῦ $P\Sigma T\Upsilon$ ὑγροῦ βάρει. φα|νερὸν οὖν, ὅτι ταλικοῦτος ὄγκος τοῦ | ὑγροῦ, ἁλίκον ἐστὶ τὸ δεδυκὸς τοῦ στε|ρεοῦ μεγέθεος, ἴσον βάρος ἔχει | ὅλῳ τῷ μεγέθει.

ϛ'.


Τὰ κουφότερα στερεὰ τοῦ ὑγροῦ | βιασθέντα εἰς τὸ ὑγρὸν ἀναφέρεται | τοσαύτᾳ βίᾳ ἐς τὸ ἄνω, ὅσον | ἐστὶ τὸ βάρος, ᾧ βαρύτερόν ἐστι τοῦ | μεγέθεος τὸ ὑγρὸν τὸ ἴσον ὄγκον | ἔχον τῷ μεγέθει.

ἔστω τι μέγεθος | τὸ A κουφότερον τοῦ ὑγροῦ, ἔστω | 55ʳ col. 1 δὲ τοῦ μὲν μεγέθεος τοῦ ἐν ᾧ A | βάρος τὸ B, τοῦ δὲ ὑγροῦ τοῦ ἴσον ὄγ|κον ἔχοντος τῷ A τὸ $B\Gamma$. δεικτέον, ὅτι | τὸ A μέγεθος βιασθὲν ἐς τὸ ὑγρὸν ἀν-|οισεῖται ἐς τὸ ἐπάνω τοσαύτᾳ βίᾳ, | ὅσον ἐστὶ τὸ βάρος τὸ Γ.

λελάφθω γάρ | τι μέγεθος τὸ ἐν ᾧ τὸ Δ βάρος ἴσον | ἔχον τῷ Γ· τὸ δὴ μέγεθος τὸ ἐξ ἀμ|φοτέρων τῶν ἐν οἷς A, Δ μεγεθέων | ἐς τὰ αὐτὰ συντεθέντων κουφότερόν | ἐστι τοῦ ὑγροῦ· ἔστι γὰρ τοῦ μὲν με|γέθεος τοῦ ἐξ ἀμφοτέρων βάρος | τὸ $B\Gamma$, τοῦ δὲ ὑγροῦ τοῦ ἴσον ὄγκον | ἔχοντος αὐτῷ μεῖζον τοῦ $B\Gamma$ δι|ὰ τὸ τοῦ

2 τοῦ (alt.)] τὸ C. 3 $BH\Theta\Gamma$] 𝔅, $BH\Theta$ C. τοῦ ἐν — 4 πυραμίδι] humidi quod in altera pyramide 𝔅. 9 seq. fig. C. fig. sumpta a 𝔅. 12 ὅσον ἐστὶ τὸ βάρος] C, om. 𝔅. 13 ᾧ] ὃ C, quanto 𝔅. 15 τι] C, enim 𝔅. 16 τοῦ μὲν — 17 ὑγροῦ]

quare grauitas, qua premuntur, aequalis est. uerum etiam grauitas humidi in prima pyramide comprehensi sine solida magnitudine $B H \Theta \Gamma$ aequalis est grauitati humidi in altera



pyramide comprehensi sine humido $P \Sigma T \Upsilon$; adparet igitur, grauitatem magnitudinis $E Z H \Theta$ aequalem esse grauitati humidi $P \Sigma T \Upsilon$. ergo manifestum est, tantam molem humidi, quanta sit pars demersa solidae magnitudinis, aequalem grauitatem habere toti magnitudini.

VI.

Solidae magnitudines, quae humido leuiores sunt, in humidum depressae sursum referuntur tanta ui, quanta est grauitas, qua humidum aequalem molem magnitudini habens magnitudine grauius est.

sit magnitudo aliqua A leuior humido, et B grauitas sit magnitudinis A, humidi autem molem habentis aequalem magnitudini A grauitas sit $B + \Gamma$. demonstrandum, magnitudinem A in humidum depressam sursum referri tanta ui, quanta sit grauitas Γ.

sumatur enim magnitudo aliqua Δ grauitatem aequalem habens grauitati Γ; magnitudo igitur $A + \Delta$ humido leuior est; nam magnitudinis $A + \Delta$ grauitas est $B + \Gamma$, humidi

---

magnitudinis quidem in qua *a* grauitas *b*, humidi autem 𝔅. 22 *δὴ*] C, autem 𝔅. 23 *τὰ αὐτὰ*] C, eandem 𝔅. *συντεθέντων*] scripsi, *συντεθὲν* C𝔅. 26 *αὐτῷ μεῖζον*] C, ipsis est maior 𝔅.

ἴσον ἔχοντος ὄγκον τῷ τοῦ | Α τὸ βάρος εἶμεν τὸ ΒΓ. ἀφε|θὲν οὖν ἐς τὸ ὑγρὸν τὸ μέγεθος | τὸ ἐξ ἀμφοτέρων τῶν Α, Δ συγ|κείμενον ἐς τοσοῦτον δύσεται, |
50r col. 1 ⟨ἔστε κα ταλικοῦτος ὄγκος τοῦ⟩ | ὑγροῦ, ἁλίκον καὶ τὸ δεδυκὸς τοῦ | μεγέθεος, ἴσον βάρος ἔχῃ τῷ | ὅλῳ μεγέθει· δέδεικται γὰρ τοῦ|το..ἔστω δὴ ἐπιφάνειά τινος ὑ|γροῦ ἁ ΑΒΓΔ περιφέρεια. ἐπεὶ | οὖν ὁ ταλικοῦτος ὄγκος τοῦ ὑ|γροῦ, ἁλίκον ἐστὶ τὸ Α μέγεθος, | ἴσον βάρος ἔχει τοῖς Α, Δ μεγέθε|σιν, δῆλον, ὅτι τὸ δεδυκὸς αὐτοῦ | ἐσσεῖται τὸ Α μέγεθος, τὸ δὲ λοιπὸν | αὐτοῦ, ἐν ᾧ Δ, ἐσσεῖται ὅλον ὑπὲρ | τᾶς τοῦ ὑγροῦ ἐπιφανείας· εἰ γὰρ α | ... δέδυκεν τὸ στερεόν, ἕπεται | .... τούτου δεδειγμένου. δῆ|λον οὖν, ὅτι ..... ἐς τὸ ἄνω φέρεται | τὸ Α μέγεθος .... |
55v col. 2 .... ὑπὸ τοῦ ἄνω τοῦ Δ | ἐς τὸ κάτω, ἐπεὶ οὐδέτερον ὑπ᾽ οὐ|δετέρου ἐξωθεῖτο. ἀλλὰ τὸ Δ ἐς τὸ | κάτω θλίβει τοσούτῳ βάρει, ἁλίκον | ἐστὶ τὸ Γ· ὑπέκειτο γὰρ τὸ βάρος | τοῦ ἐν ᾧ τὸ Δ εἶμεν ἴσον τῷ Γ· δῆ|λον οὖν, ὃ ἔδει δεῖξαι.


ζ΄.

Τὰ βαρύτερα τοῦ ὑγροῦ ἀφεθέντα | εἰς τὸ ὑγρὸν οἰσεῖται κάτω, ἔστ᾽ ἂν | καταβᾶντι, καὶ ἐσσοῦνται κου-

---

1 ἴσον — Α] C, habentis molem aequalem cum *a* 𝔅. 2 ἀφεθὲν οὖν ἐς] scripsi, ἀφεθὲν οὖν ἔστω C, dimittatur igitur in 𝔅. 3 συγκείμενον] 𝔅, συγκειμένων C. 4 ἔστε — τοῦ] donec tanta moles 𝔅. ἁλίκον] 𝔅, ἄδικον C. καὶ] C, est 𝔅. 5 ἔχῃ] 𝔅, ἔχει C. τῷ ὅλῳ μεγέθει] cum tota magnitudine 𝔅. 6 δὴ] scripsi, δὲ C𝔅. 7 περιφέρεια] 𝔅, περιφερείας C. 9 ὅτι] quod 𝔅. 11 αὐτοῦ — 12 ἐπιφανείας] in quo *d* erit totum desuper supra superficiem humidi 𝔅. 12 sqq. restitutio incerta. 12 εἰ γὰρ — 13 δεδειγμένου] si enim sequente spatio uacuo $\frac{1}{2} + \frac{1}{2}$ lineae 𝔅, mg.

autem aequalem ei molem habentis maior quam $B + \Gamma$, quia $B + \Gamma$ grauitas est humidi aequalem molem habentis magnitudini A. itaque magnitudo $A + \Delta$ in humidum demissa usque eo demergetur, donec tanta moles humidi, quanta est pars demersa magnitudinis, grauitatem habet aequalem toti magnitudini; hoc enim demonstratum est [prop. V]. iam arcus $AB\Gamma\Delta$ superficies sit alicuius humidi. quoniam igitur tanta moles humidi, quanta est magnitudo A, grauitatem habet aequalem magnitudinibus $A + \Delta$, adparet, partem eius demersam fore magnitudinem A, reliquum autem eius, in quo Δ, totum supra superficiem humidi fore; si enim aliter demergitur magnitudo, ab iis, quae antea demonstrauimus, discrepat. adparet igitur, quanta ui magnitudo A sursum feratur, tanta eam magnitudine Δ supra posita deorsum premi, quoniam neutra ab altera propellebatur. Δ uero deorsum premit tanta grauitate, quanta est Γ; supposuimus enim, grauitatem magnitudinis Δ aequalem esse grauitati Γ; ergo constat, quod erat demonstrandum.



VII.

Magnitudines humido grauiores in humidum demissae deorsum ferentur, donec ad imum perueniant, et in humido

---

ει γαρ ταυτ^ς δεδυκραι (?) *τελειον εσειται δεδυκ^ο του δεδειγμενον.* **13** *δῆλον* — **15** *κάτω*] palam igitur quod quanta ui magnitudo *a* refertur ad superius tanta (del. que *d* ē superius) premitur (mg. add. ab eo quod supra scilicet *d*) ad inferius 𝔅. **15** *τὸ*] *τῷ* C. **18** *τοῦ*] 𝔅, *τὸ* C. **19** seq. *ἑξῆς ἡ καταγραφὴ τοῦ σχήματος* et fig. in eadem columna C. fig. sumpta a 𝔅; in C mg. recta perpendicularis, cui adscribitur: *βαρος του ῦ* et infra transuerse *βαρος / ογκον* **20** *ζ*] 𝔅, euan. C. **22** *ἑστὰν καταβαντι* mg. 𝔅.

φότε|ρα ἐν τῷ ὑγρῷ τοσοῦτον, ὅσον | εχει τὸ βάρος 50r col. 2 τοῦ ὑγροῦ τοῦ ταλικοῦ|τον ὄγκον ἔχοντος, ἁλίκος ἐστὶν | ὁ τοῦ στερεοῦ μεγέθεος ὄγκος.

ὅτι | μὲν οὖν οἰσεῖται ἐς τὸ κάτω, ἔστ' ἂν | καταβᾶντι, δῆλον· τὰ γὰρ ὑπο|κάτω αὐτοῦ μέρεα τοῦ ὑγροῦ θλι|βησοῦνται μᾶλλον τῶν ἐξ ἴσου αὐτοῖς | κειμένων μερέων, ἐπειδὴ βαρύ|τερον ὑπόκειται τὸ στερεὸν μέ|γεθος τοῦ ὑγροῦ· ὅτι δὲ κουφότερα | ἐσσοῦνται, ὡς εἴρηται, δειχθήσεται. |

ἔστω τι μέγεθος τὸ Α, ὅ ἐστι βαρύτερον τοῦ | ὑγροῦ, βάρος δὲ ἔστω τοῦ μὲν ἐν ᾧ | Α μεγέθεος τὸ ΒΓ, τοῦ δὲ ὑγροῦ τοῦ | ἴσον ὄγκον ἔχοντος τῷ Α τὸ Β. δει-|κτέον, ὅτι τὸ Α μέγεθος ἐν τῷ ὑγρῷ | ἐὸν βάρος ἕξει ἴσον τῷ Γ.

82r col. 1 λελά|φθω γάρ τι μέγεθος τὸ ἐν ᾧ τὸ Δ | ⟨κουφότερον τοῦ ὑγροῦ τοῦ ἴσον | ὄγκον ἔχοντος αὐτῷ, ἔστω⟩ | δὲ τοῦ μὲν ἐν ᾧ τὸ Δ μεγέθεος βάρος | ἴσον τῷ Β βάρει, τοῦ δὲ ὑγροῦ τοῦ ἴ|σον ὄγκον ἔχοντος τῷ Δ μεγέθει | τὸ βάρος ἔστω ἴσον τῷ ΒΓ βάρει. | συντεθέντων δὴ ἐς τὸ αὐτὸ τῶν με|γεθέων, ἐν οἷς τὰ Α, Δ, τὸ τῶν συν|αμφοτέρων μέγεθος ἰσοβαρὲς | ἐσσεῖται τῷ ὑγρῷ· ἔστι γὰρ τῶν | μεγεθέων συναμφοτέρων τὸ βάρος | ἴσον συναμφοτέροις τοῖς βάρε|σιν τῷ τε ΒΓ καὶ τῷ Β, τοῦ δὲ ὑ|γροῦ τοῦ ἴσον ὄγκον ἔχοντος ἀμ|φοτέροις τοῖς μεγέθεσι τὸ βά|ρος ἴσον ἐστὶ τοῖς αὐτοῖς βάρε|σιν. ἀφεθέντων οὖν τῶν μεγε- | θέων ἐς τὸ ὑγρὸν ἰσορροπησοῦν|ται τῷ ὑγρῷ καὶ

---


1 τὸ βάρος — 3 ἐστὶν] grauitas humidi habentis tantam molem quanta est 𝔅; expectaueris ἔχει βάρος τὸ ὑγρὸν τὸ ταλικοῦτον ὄγκον ἔχον. 4 εστου κατ'βαντι mg. 𝔅; in C καταβᾶντι satis incertum est. 5 αὐτοῦ] C, ipsis 𝔅; fort. αὐ-

iungamus DA, EB. et quia angulus BDA est rectus [Eucl. III, 31], erunt duo anguli DAB, DBA reliqui in triangulo DAB aequales uni recto. et angulus AEB rectus; igitur sunt aequales ei. et ponamus angulum FBE communem; ambo anguli DAB, ABE sunt aequales FBE, FEB, immo angulo DFE externo in FBE [Eucl. I, 32]. et quia CD est tangens circulum et DB secans illum, angulus CDB aequatur angulo DAB, et pariter angulus CEF aequatur angulo EBA [Eucl. III, 32]; ergo duo anguli CEF, CDF simul aequales sunt angulo DFE. et iam quidem planum fit ex nostro tractatu de figuris quadrilateris,[1] quod, si educantur inter duas lineas aequales sibi occurrentes in aliquo puncto, uti sunt duae lineae CD, CE [cfr. ZMP. XXIV p. 181 nr. 15], duae lineae se mutuo secantes, uti sunt duae lineae DF, EF, et fuerit angulus ab illis contentus, ut est angulus F, aequalis duobus angulis, qui occurrunt duabus lineis se inuicem secantibus, uti sunt duo anguli E, D, simul, erit linea egrediens a puncto concursus ad punctum sectionis, uti est linea CF, aequalis cuilibet linearum sibi occurrentium, ut CD uel CE;[2] propterea erit CF aequalis ipsi CD; ergo angulus CFD



1) De eiusmodi libro Archimedis nemo praeterea uerbum fecit.

2) Demonstrationem indirectam dedit Almochtasso. Borellus propositionem ita demonstrat: producatur DC, et sit $CH = CE$. iam cum $\angle H = CEH$ et ex hypothesi

$$DFE = CDF + CEF,$$


erit $DFE + H = CDF + FEH = 180^\circ$; itaque $DFEH$ in circulum inscribi potest (Eucl. III, 22). et centrum erit C, cum $CH = DC = CE$; itaque erit $CF = CD$.

est aequalis angulo CDF, nempe angulo DAG. sed angulus CFD cum angulo DFG est aequalis duobus rectis; ergo angulus DAG cum angulo DFG aequalis est duobus rectis; et remanent in quadrilatero $ADFG$ duo anguli ADF, AGF aequales duobus rectis. sed angulus ADB rectus est; ergo angulus AGC est rectus et CG perpendicularis ad AB. et hoc est, quod uoluimus.

XIII.

Si mutuo se secent duae lineae AB, CD in circulo, et fuerit AB diameter illius, at non CD, et educantur ex duobus punctis A, B duae perpendiculares ad CD, quae sint AE, BF, utique abscindent ex illa CF, DE aequales.[1])

iungamus EB et educamus ex I, quod est centrum, perpendicularem IG super CD et producamus eam ad H in EB. et quia IG est perpendicularis ex centro ad CD, illam bifariam diuidet in G [Eucl. III, 3]; et quia IG, AE sunt duae perpendiculares super illam, erunt parallelae [Eucl. I, 28]. et quia BI aequalis est IA, erit BH aequalis ipsi HE [Eucl. VI, 2]; et propter earum aequalitatem, et quia BF est parallela ipsi HG, erit FG aequalis ipsi GE, et ex GC, GD aequalibus remanent FC, ED aequales. et hoc est, quod uoluimus.




XIV.

Si fuerit AB semicirculus, et ex eius diametro AB dissectae sint AC, BD aequales, et efficiantur super lineas AC, CD, DB semicirculi, et sit centrum duorum semi-

1) Cfr. Pappus VII, 132 p. 788.

circulorum AB, CD punctum E, et sit EF perpendicularis super AB et producatur ad G, utique circulus, cuius diameter est FG, aequalis est superficiei contentae a semicirculo maiori et a duobus semicirculis, qui sunt intra illum, et a semicirculo medio, qui est extra illum. et est figura, quam uocat Archimedes Salinon.[1])

quia DC bifariam secatur in E, et addita est illi CA, erunt duo quadrata DA, CA dupla duorum quadratorum DE, EA [Eucl. II, 10]. sed FG aequalis est ipsi DA;[2]) ergo duo quadrata FG, AC dupla sunt duorum quadratorum DE, EA. et quia AB dupla est AE, et CD dupla quoque ED, erunt duo quadrata AB, DC quadrupla duorum quadratorum DE, EA, immo dupla duorum quadratorum GF, AC. similiter etiam duo circuli, quorum diametri sunt AB, DC, dupli sunt eorum,



quorum diametri sunt GF, AC [Quaest. Arch. p. 48], et dimidii eorum, quorum diametri sunt AB, CD, aequales duobus circulis, quorum diametri sunt GF, AC. sed circulus, cuius diameter AC, est aequalis duobus semicirculis AC, BD; ergo, si auferamus ex illis duos semicirculos AC, BD, qui sunt communes, remanet figura contenta a quattuor semicirculis AB, CD, DB, AC (quae ea est, quam uocat Ar-

1) Haec propositio fortasse re uera Archimedis est. quid Salinon sit, uerbum sine dubio ab Arabibus deprauatum, dubito. pro *σελίνιον* accepit Barrowius p. 275; contra Mauritius Cantor l. c. ab *σάλος* deriuat („Wellenlinie), Heath (The works of Archim. p. 315) a uocabulo Latino *salinum*. ipse de uerbo *σέλινον* cogitaui (ex similitudine frondis apii).


2) Nam $GF = GE + EF = AE + ED = AD$.

chimedes Salinon) aequalis circulo, cuius diameter est FG. et hoc est, quod uoluimus.

XV.

Si fuerit AB semicirculus et AC chorda pentagoni, et semissis arcus AC sit AD, iungatur CD et producatur, ut cadat super E, et iungatur DB, quae secet CA in F, et ducatur ex F perpendicularis FG super AB, erit linea EG aequalis semidiametro circuli.[1])

iungamus itaque lineam CB, et sit centrum H, et iungamus HD, DG et AD. et quia angulus ABC, cuius basis est latus pentagoni, est duae quintae partes recti



[Eucl. III, 20], quilibet duorum angulorum CBD, DBA est quinta pars recti. et angulus DHA duplus est anguli DBH [Eucl. III, 20]; ergo angulus DHA est duae quintae partes recti. et quia in duobus triangulis CBF, GBF duo anguli B sunt aequales et G, C recti et latus FB commune, erit BC aequale ipsi BG [Eucl. I, 26]. et quia in duobus triangulis CBD, GBD duo latera CB, BG sunt aequalia et similiter duo anguli ad B, et latus BD commune, erunt duo anguli BCD, BGD aequales [Eucl. I, 4]. et quilibet eorum est sex quintae partes recti,[2]) et est aequalis angulo DAE externo quadrilateri $BADC$, quod est in circulo;[3]) ergo remanet angulus DAB aequalis

1) Cfr. Pappus V, 77 p. 418.
2) Nam $DCA = \frac{1}{2} DHA$ (Eucl. III, 20) et $FCB = 90^\circ$.
3) Nam

$$BCD + DAB = 180^\circ \text{ (Eucl. III, 22)} = DAE + DAB.$$

angulo DGA, et erit DA aequalis ipsi DG. et quia angulus DHG est duae quintae partes recti et angulus DGH sex quintae partes recti, remanet angulus HDG duae quintae partes recti, et erit DG aequalis GH. et quia ADE externus quadrilateri $ADCB$, quod est in circulo, est aequalis angulo CBA [p. 524 not. 3], et est duae quintae partes recti et aequalis angulo GDH. et quia in duobus triangulis EDA, HDG sunt duo anguli EDA, HDG aequales et pariter duo anguli DGH, DAE et duo latera DA, DG, erit EA aequale HG [Eucl. I, 26]. et ponamus AG commune; erit EG aequale AH. et hoc est, quod uoluimus.

Et hinc patet, quod linea DE aequalis sit semidiametro circuli; quia angulus A aequalis est angulo DGH, ideo erit linea DH aequalis linea DE.[1]) et dico, quod EC diuiditur media et extrema proportione[2]) in D, et maius segmentum est DE; et hoc, quia ED est chorda hexagoni [Eucl. IV, 15 coroll.] et DC decagoni, et hoc iam demonstratum est in libro Elementorum.[3]) et hoc est, quod uoluimus.

---

1) Nam $DA = DG$, $EA = GH$; tum u. Eucl. I, 4.

2) H. e. ἄκρον καὶ μέσον λόγον, siue $EC : ED = ED : DC$ (Eucl. VI def. 3).

3) H. e. ἐν τῇ Στοιχειώσει, Eucl. Elem. XIII, 9.

PROBLEMA BOVINUM.

Antiquitus clarum erat problema Archimedis de numero boum Solis (πρόβλημα βοεικόν); u. Scholia ad Platonis Charmid. 165 e: θεωρεῖ (ἡ λογιστική) οὖν τοῦτο μὲν τὸ κληθὲν ὑπ' Ἀρχιμήδους βοεικὸν πρόβλημα, τοῦτο δὲ μηλίτας καὶ φιαλίτας ἀριθμούς (u. Anthol. Palat. XIV, 3 et 12); cfr. Hero IV p. 98, 19. hoc ipsum problema fortasse significat Cicero ad Attic. XII, 4; XIII, 28: πρόβλημα Ἀρχιμήδειον. epigramma infra adlatum problema eiusmodi tractans e codice Guelferbytano (Gud. Graec. 77 fol. 415^{v}) primus edidit G. E. Lessingius (Beitr. z. Gesch. u. Litterat., Braunschweig 1773, p. 421 sq., u. Sämmtliche Schriften ed. Lachmann IX p. 285 sq.) addito scholio et disputatione mathematica Chr. Leistii (ib. p. 297). deinde id ediderunt I. et K. L. Struuii (Altes griechisches Epigramm mathematischen Inhalts, Altona 1821), G. Hermannus (De Archimedis problemate bouino, Lipsiae 1828, u. Opuscula IV p. 228 et recensio I. F. Wurmii in Jahns Jahrbücher XIV p. 194, ad quam respicit Hermannus Opusc. IV praef. p. III), Terquem Bulletin de bibliogr., d'histoire et de biogr. mathématiques I

Πρόβλημα,

ὅπερ Ἀρχιμήδης ἐν ἐπιγράμμασιν εὑρὼν τοῖς ἐν Ἀλεξανδρείᾳ περὶ ταῦτα πραγματευομένοις ζητεῖν ἀπέστειλεν ἐν τῇ πρὸς Ἐρατοσθένην τὸν Κυρηναῖον ἐπιστολῇ.

Πληθὺν Ἠελίοιο βοῶν, ὦ ξεῖνε, μέτρησον
φροντίδ' ἐπιστήσας, εἰ μετέχεις σοφίης,
πόσση ἄρ' ἐν πεδίοις Σικελῆς ποτ' ἐβόσκετο νήσου
Θρινακίης τετραχῇ στίφεα δασσαμένη
χροιὴν ἀλλάσσοντα· τὸ μὲν λευκοῖο γάλακτος,
κυανέῳ δ' ἕτερον χρώματι λαμπόμενον,

p. 121; cfr. ibid. p. 113 sq., p. 130), B. Krumbiegel (ZMP. XXV p. 121 sq.). problema ipsum praeterea tractauerunt Nesselmannus (Algebra der Griechen p. 481 sq.), A. I. H. Vincentius (Bulletin Terquem I p. 165 sq., II p. 39), A. Amthor (ZMP. XXV p. 153 sq.), Paulus Tannery (Mém. de la Soc. d. Sciences de Bordeaux[2], 1880, III p. 369 sq., Bullet. d. sciences mathém.[2] 1881, V p. 25 sq.), T. L. Heath (Diophantus of Alexandria p. 142).

quidquid de ipso epigrammate iudicandum est, uix negari potest, Archimedem tale problema proponere potuisse, neque formam eius ab arithmetica eius temporis abhorrere, in quo consentiunt praeter Hermannum et Krumbiegelium Guilelmus Libri (Hist. d. mathém. en Italie I p. 206), Mauritius Cantor (ZMP. XXIV p. 169), Paulus Tannery (l. c.), obloquente praeter Struvios, Nesselmannum, Vincentium Heathio l. c. cfr. Quaest. Arch. p. 66—68.

epigramma exstat etiam in cod. Paris Gr. 2448 saec. XIV fol. 57 (**P**), quem mea causa contulit Henricus Lebègue. cod. Gudianum (**G**) ipse contuli.

Problema,

quod Archimedes inuenit et in epigrammate ad eos, qui Alexandriae eiusmodi rebus studebant, misit in epistula ad Eratosthenem Cyrenensem.

Multitudinem boum Solis, hospes, computato diligentiam adhibens, si sapientiae particeps es, quanta quondam in campis Thrinaciae Siculae insulae pasta sit in quattuor greges diuisa colore diuersos, unum lactis albi colore, alterum

---

3 *πραγματευομένοις*] *Struve*, *πραγματουμένοις* G. 5 *'Ηελίοιο βοῶν*] cfr. Odyss. XII, 127 sqq. 8 *δασσαμένη*] G, *δασαμένη* P. 9 *ἀλλάσσοντα*] G, *ἀλλάσοντα* (σ supra) P.

ἄλλο γε μὲν ξανθόν, τὸ δὲ ποικίλον. ἐν δὲ ἑκάστῳ
στίφει ἔσαν ταῦροι πλήθεσι βριθόμενοι
συμμετρίης τοιῆσδε τετευχότες· ἀργότριχας μέν
κυανέων ταύρων ἡμίσει ἠδὲ τρίτῳ
καὶ ξανθοῖς σύμπασιν ἴσους, ὦ ξεῖνε, νόησον,
αὐτὰρ κυανέους τῷ τετράτῳ τε μέρει
μικτοχρόων καὶ πέμπτῳ, ἔτι ξανθοῖσί τε πᾶσιν.
τοὺς δ' ὑπολειπομένους ποικιλόχρωτας ἄθρει
ἀργεννῶν ταύρων ἕκτῳ μέρει ἑβδομάτῳ τε
καὶ ξανθοῖς αὐτοὺς πᾶσιν ἰσαζομένους.
θηλείαισι δὲ βουσὶ τάδ' ἔπλετο· λευκότριχες μέν
ἦσαν συμπάσης κυανέης ἀγέλης
τῷ τριτάτῳ τε μέρει καὶ τετράτῳ ἀτρεκὲς ἶσαι·
αὐτὰρ κυάνεαι τῷ τετράτῳ τε πάλιν
μικτοχρόων καὶ πέμπτῳ ὁμοῦ μέρει ἰσάζοντο
σὺν ταύροις πάσαις εἰς νομὸν ἐρχομέναις.
ξανθοτρίχων δ' ἀγέλης πέμπτῳ μέρει ἠδὲ καὶ ἕκτῳ
ποικίλαι ἰσάριθμον πλῆθος ἔχον τετραχῇ.
ξανθαὶ δ' ἠριθμεῦντο μέρους τρίτου ἡμίσει ἶσαι
ἀργεννῆς ἀγέλης ἑβδομάτῳ τε μέρει.
ξεῖνε, σὺ δ', Ἠελίοιο βόες πόσαι, ἀτρεκὲς εἰπών,
χωρὶς μὲν ταύρων ζατρεφέων ἀριθμόν,
χωρὶς δ' αὖ, θήλειαι ὅσαι κατὰ χροιὰν ἕκασται,
οὐκ ἄιδρίς κε λέγοι' οὐδ' ἀριθμῶν ἀδαής,
οὐ μήν πώ γε σοφοῖς ἐναρίθμιος. ἀλλ' ἴθι φράζευ
καὶ τάδε πάντα βοῶν Ἠελίοιο πάθη.
ἀργότριχες ταῦροι μὲν ἐπεὶ μιξαίατο πληθύν
κυανέοις, ἵσταντ' ἔμπεδον ἰσόμετροι
εἰς βάθος εἰς εὖρός τε, τὰ δ' αὖ περιμήκεα πάντη

---

2 *πλήθεσι*] *πλήθει* Struve. 6 *τετράτῳ τε*] P, *τετάρτῳ* G. 7 *μικτοχρόων*] *στικτοχρόων* Struve. *πᾶσιν*] P, *πᾶσι* G. 10 *αὐ-*

caeruleo nitentem, tertium flauum, quartum uarium. in singulis autem gregibus tauri erant numero praeualidi, hanc rationem seruantes: finge, hospes, albos numero aequales dimidiae tertiaeque partibus taurorum caeruleorum et simul omnibus flauis, caeruleos autem quartae quintaeque partibus uariorum et praeterea flauis omnibus. reliquos autem uarios uide sextae septimaeque partibus alborum et omnibus flauis aequales. in uaccis autem hae erant rationes: albae tertiae quartaeque partibus totius gregis caerulei prorsus aequales erant, caeruleae autem rursus quartae quintaeque simul partibus uariarum aequales erant, ubi omnes cum tauris pascebantur. uariae autem numerum habebant ex omni parte aequalem quintae sextaeque partibus flauorum gregis. flauae autem sextae septimaeque partibus gregis albi aequales numerabantur. tu uero, hospes, diligenter indicato numero boum Solis, quot tauri robusti quotque uaccae fuerint singulis coloribus, non imperitus rudisque numerorum uocaberis, neque tamen inter sapientes numeraberis. at dic age has quoque omnes boum Solis rationes: sicubi tauri albi suam multitudinem cum caeruleis coniungebant, stabant firmiter aequali in altitudinem latitudinemque mensura, et longi latique campi Thrinaciae

---

τοὺς] *αὖτις Struve.* *ἰσαζομένους*] G, *ἰδαιομένους* P. Versus 17—26 (lin. **11** sqq.) del. *Vincent.* **13** *τετράτῳ*] P, *τετάρτῳ* G. **14** *τετράτῳ*] P, *τετάρτῳ* G. **15** *μικτοχρόων*] *στικτοχρόων Struve.* **16** *πάσαις*] GP, *πάσης Lessing*, *πασῶν Struve*, *πάσης δ' Hermann.* *ἐρχομέναις*] GP, *ἐρχομένης Lessing*, *ἐρχομένων Struve.* **17** *δ'*] P, *Struve*; om. G. **18** *τετραχῆ*] G, *τετραχεῖ* P, uix sanum; *τελέως Krumbiegel*; *ἔχοντ' ἀτρεκές Vincent* praeeunte *Struvio.* **19** *τρίτον*] P, *τρίτον* G. **21** *βόες*] GP, *βοῶν Hermann.* *πόσαι*] *πόσοι Vincent.* *εἰπών*] *εἶπον* (imp.) *Wurm.* vers. 28—29 (lin. **22**—**23**) del. *Vincent.* **23** *χροιὰν*] *χρῶμα Struve.* **24** *λέγοι'*] G, *λέγοιο* P. vers. 31—44 (lin. **25** — p. 532, 9) del. *Vincent.* **25** *ἐναρίθμιος*] GP. **26** *τάδε πάντα*] *τάδ' ἔτ' ἄλλα Struve.* **28** *ἔμπεδον*] *ἐμβαδὸν Vincent.* **29** *περιμήκεα*] *πέρι μήκεα Hermann.*

πίμπλαντο πλίνθου Θρινακίης πεδία.
ξανθοὶ δ' αὖτ' εἰς ἓν καὶ ποικίλοι ἀθροισθέντες
ἵσταντ' ἀμβολάδην ἐξ ἑνὸς ἀρχόμενοι
σχῆμα τελειοῦντες τὸ τρικράσπεδον οὔτε προσόντων
ἀλλοχρόων ταύρων οὔτ' ἐπιλειπομένων.
ταῦτα συνεξευρὼν καὶ ἐνὶ πραπίδεσσιν ἀθροίσας
καὶ πληθέων ἀποδούς, ξεῖνε, τὰ πάντα μέτρα
ἔρχεο κυδιόων νικηφόρος ἴσθι τε πάντως
κεκριμένος ταύτῃ γ' ὄμπνιος ἐν σοφίῃ.

Σχόλιον.

Τὸ μὲν οὖν πρόβλημα διὰ τοῦ ποιήματος ὁ Ἀρχιμήδης ἐδήλωσε σαφῶς· ἰστέον δὲ τὸ λεγόμενον, ὅτι τέσσαρας ἀγέλας εἶναι δεῖ βοῶν, λευκοτρίχων μὲν μίαν ταύρων καὶ θηλειῶν, ὧν τὸ πλῆθος ὁμοῦ συνάγει μυριάδας διπλᾶς ιδ' καὶ ἁπλᾶς φπβ' καὶ μονάδας ͵ζτξ', κυανοχρόων δ' ἄλλην ὁμοῦ ταύρων καὶ θηλειῶν, ὧν τὸ πλῆθός ἐστι μυριάδων διπλῶν ἐννέα καὶ ἁπλῶν ͵ηωλ' καὶ μονάδων ω', μιξοτρίχων δ' ἄλλην ταύρων καὶ θηλειῶν, ὧν τὸ πλῆθός ἐστι μυριάδων διπλῶν η' καὶ ἁπλῶν ͵ςϡϙα' καὶ μονάδων υ'· τῆς δὲ λοιπῆς ἀγέλης τῶν ξανθοχρόων συνάγει τὸ πλῆθος διπλᾶς μυριάδας ζ' καὶ ἁπλᾶς ͵ςψη', μονάδας δὲ ͵η'· ὥστε συνάγεσθαι ὁμοῦ τὸ πλῆθος τῶν δ' ἀγελῶν μυριάδας διπλᾶς μ' καὶ ἁπλᾶς ͵γριβ' καὶ μο-

---

1 *πλίνθου*] *πλῆθος Vincent*, *πλήθους Krumbiegel.* 3 *ἀμβολάδην*] G, *ἀμβολάνδην* P. 4 *οὔτε*] *εἴτε Hermann.* 5 *οὔτ'*] *εἴτ' Hermann.* 6 *πραπίδεσσιν*] G, *πραπίδεσιν* P. *ἀθροίσας*] G, *ἀθρήσας* P. 7 *ξεῖνε, τὰ*] P, *ὦ ξένε* G. 9 *ταύτῃ γ'*] *Hermann*, *ταύτης* P, *ταύτῃ* G. 21 *ξανθοχρόων*] *ξανθοτρίχων Hermann.*

undique solido quadrangulo complebantur. rursus autem flaui et uarii coniuncti ita stabant, ut numerus sensim ex uno adcresceret, figuram trilateram efficientes tauris ceterorum colorum neque praesentibus neque deficientibus. haec si simul inueneris et mente complexus eris, hospes, omnes multitudinum mensuras indicans, uictoria gloriatus abito et putato, te ita demum hac in sapientia perfectum esse iudicatum.

νάδας ͵ϛφξ΄. καὶ ἡ μὲν ἀγέλη τῶν λευκοτρίχων ταύρων ἔχει μυριάδας διπλᾶς η΄ καὶ ἁπλᾶς ͵βϡλα΄ καὶ μονάδας ͵ηφξ΄, θηλειῶν δὲ μυριάδας διπλᾶς ε΄ καὶ ἁπλᾶς ͵ζχν΄ καὶ μονάδας ͵ηω΄, ἡ δὲ ἀγέλη τῶν κυανοχρόων ταύρων ἔχει μὲν μυριάδας διπλᾶς ε΄ καὶ ἁπλᾶς ͵θχπδ΄ καὶ μονάδας ͵αρκ΄, θηλειῶν δὲ μυριάδας διπλᾶς γ΄ καὶ ἁπλᾶς ͵θρμε΄ καὶ μονάδας ͵θχπ΄, ἡ δ' ἀγέλη τῶν ποικιλοτρίχων ταύρων ἔχει μὲν μυριάδας διπλᾶς ε΄ καὶ ἁπλᾶς ͵ηωξδ΄ καὶ μονάδας ͵δω΄, θηλειῶν δὲ μυριάδας διπλᾶς β΄ καὶ ἁπλᾶς ͵ηρκϛ΄ καὶ μονάδας ͵εχ΄, ἡ δ' ἀγέλη τῶν ξανθοχρωμάτων ταύρων ἔχει μὲν μυριάδας διπλᾶς γ΄ καὶ ἁπλᾶς ͵γρϙε΄ καὶ μονάδας ϡξ΄, θηλειῶν δὲ μυριάδας διπλᾶς δ΄ καὶ ἁπλᾶς ͵γφιγ΄ καὶ μονάδας ͵ζμ΄. καί ἐστι τὸ πλῆθος τῶν λευκοτρίχων ταύρων ἴσον τῷ ἡμίσει καὶ τρίτῳ μέρει τοῦ πλήθους τῶν κυανοχρόων ταύρων καὶ ἔτι ὅλῃ τῇ τῶν ξανθοχρωμάτων ἀγέλῃ, τὸ δὲ πλῆθος τῶν κυανοχρωμάτων ἴσον τῷ τετάρτῳ καὶ πέμπτῳ μέρει τῶν ποικιλοτρίχων ταύρων καὶ ὅλῳ τῷ πλήθει τῶν ξανθοχρωμάτων, τὸ δὲ πλῆθος τῶν ποικιλοτρίχων ταύρων ἴσον τῷ ἕκτῳ καὶ ἑβδόμῳ μέρει τῶν λευκοτρίχων

---

11 ͵εχ΄] *Lessing*, ͵θχ΄ G. 19 ποικιλοτρίχων] ποικιλοχρόων *Hermann.*

ταύρων καὶ ἔτι τῷ πλήθει ὅλῳ τῶν ξανθοχρωμάτων ταύρων, καὶ πάλιν τὸ πλῆθος τῶν λευκῶν θηλειῶν ἴσον τῷ τρίτῳ καὶ τετάρτῳ μέρει ὅλης τῆς ἀγέλης τῶν κυανοχρόων, τὸ δὲ τῶν κυανοχρόων ἴσον τῷ τετάρτῳ καὶ πέμπτῳ μέρει τῆς ὅλης ἀγέλης τῶν ποικιλοτρίχων, τὸ δὲ τῶν ποικιλοτρίχων ἴσον τῷ πέμπτῳ καὶ ἕκτῳ μέρει τῆς ὅλης τῶν ξανθῶν βοῶν. πάλιν δὲ τὸ τῶν ξανθῶν θηλειῶν πλῆθος ἦν ἴσον τῷ ἕκτῳ τε καὶ ἑβδόμῳ μέρει τῆς ὅλης ἀγέλης τῶν λευκῶν βοῶν. καὶ ἡ μὲν ἀγέλη τῶν λευκοτρίχων ταύρων καὶ ἡ τῶν κυανοχρόων ταύρων συντεθεῖσα ποιεῖ τετράγωνον ἀριθμόν, ἡ δ' ἀγέλη τῶν ξανθοτρίχων ταύρων μετὰ τῆς ἀγέλης τῶν ποικιλοχρόων συντεθεῖσα ποιεῖ τρίγωνον, ὡς ἔχει τὰ τῶν ὑποκειμένων κανόνων καθ' ἕκαστον χρῶμα.

---

8 τε] om. *Hermann*. 14 τῶν ὑποκειμένων κανόνων] hae ratiocinationes nunc desunt in G.

FRAGMENTA.

Omissis libris, qui ab Arabibus solis commemorantur (u. Quaest. Arch. p. 29—30), ad quos nunc adcessit liber De clepsydris (Philon, Le livre des appareils pneumatiques, par Carra de Vaux, Paris 1902, p. 14; E. Wiedemann, Sitzungsber. d. physikal.-medizin. Sozietät in Erlangen 1905, XXXVII p. 257 sqq.; cfr. omnino de Arabum notitiis ib. p. 248 sq.), hoc loco omnia testimonia et fragmenta librorum Archimedis, qui interciderunt, quae quidem inuenire potuerim, collegi; pleraque indicaui Quaest. Arch. p. 30 sq.

De polyedris.

1 Pappus V, 34 p. 352. *ταῦτα δ' ἐστὶν οὐ μόνον τὰ παρὰ τῷ θειοτάτῳ Πλάτωνι πέντε σχήματα, τουτέστιν τετράεδρόν τε καὶ ἑξάεδρον, ὀκτάεδρόν τε καὶ δωδεκάεδρον, πέμπτον δ' εἰκοσάεδρον, ἀλλὰ καὶ τὰ ὑπὸ Ἀρχιμήδους εὑρεθέντα τρισκαίδεκα τὸν ἀριθμὸν ὑπὸ ἰσοπλεύρων μὲν καὶ ἰσογωνίων, οὐχ ὁμοίων δέ, πολυγώνων περιεχόμενα.*

τὸ μὲν γὰρ πρῶτον ὀκτάεδρόν ἐστιν περιεχόμενον ὑπὸ τριγώνων δ̅ καὶ ἑξαγώνων δ̅.

τρία δὲ μετὰ τοῦτο τεσσαρεσκαιδεκάεδρα, ὧν τὸ μὲν πρῶτον περιέχεται τριγώνοις η̅ καὶ τετραγώνοις ϛ̅, τὸ δὲ δεύτερον τετραγώνοις ϛ̅ καὶ ἑξαγώνοις η̅, τὸ δὲ τρίτον τριγώνοις η̅ καὶ ὀκταγώνοις ϛ̅.

μετὰ δὲ ταῦτα ἑκκαιεικοσάεδρά ἐστιν δύο, ὧν τὸ μὲν πρῶτον περιέχεται τριγώνοις η̅ καὶ τετραγώνοις ι̅η̅, τὸ δὲ δεύτερον τετραγώνοις ι̅β̅, ἑξαγώνοις η̅ καὶ ὀκταγώνοις ϛ̅.

μετὰ δὲ ταῦτα δυοκαιτριακοντάεδρά ἐστιν τρία, ὧν τὸ μὲν πρῶτον περιέχεται τριγώνοις $\overline{\kappa}$ καὶ πενταγώνοις $\overline{\iota\beta}$, τὸ δὲ δεύτερον πενταγώνοις $\overline{\iota\beta}$ καὶ ἑξαγώνοις $\overline{\kappa}$, τὸ δὲ τρίτον τριγώνοις $\overline{\kappa}$ καὶ δεκαγώνοις $\overline{\iota\beta}$.

μετὰ δὲ ταῦτα ἕν ἐστιν ὀκτωκαιτριακοντάεδρον περιεχόμενον ὑπὸ τριγώνων $\overline{\lambda\beta}$ καὶ τετραγώνων $\overline{ϛ}$.

μετὰ δὲ τοῦτο δυοκαιεξηκοντάεδρά ἐστι δύο, ὧν τὸ μὲν πρῶτον περιέχεται τριγώνοις $\overline{\kappa}$ καὶ τετραγώνοις $\overline{\lambda}$ καὶ πενταγώνοις $\overline{\iota\beta}$, τὸ δὲ δεύτερον τετραγώνοις $\overline{\lambda}$ καὶ ἑξαγώνοις $\overline{\kappa}$ καὶ δεκαγώνοις $\overline{\iota\beta}$.

μετὰ δὲ ταῦτα τελευταῖόν ἐστιν δυοκαιενενηκοντάεδρον, ὃ περιέχεται τριγώνοις $\overline{\pi}$ καὶ πενταγώνοις $\overline{\iota\beta}$.

ὅσας δὲ γωνίας ἕκαστον ἔχει στερεὰς τῶν $\overline{\iota\gamma}$ τούτων σχημάτων πολυέδρων καὶ ὅσας πλευράς, διὰ τοῦδε τοῦ τρόπου θεωρεῖται· ὅσων μὲν γὰρ ἁπλῶς πολυέδρων αἱ στερεαὶ γωνίαι τρισὶν ἐπιπέδοις περιέχονται γωνίαις, ἐξαριθμηθεισῶν τῶν ἐπιπέδων γωνιῶν, ἃς ἔχουσιν πᾶσαι αἱ ἕδραι τοῦ πολυέδρου, δῆλον, ὡς ὁ τῶν στερεῶν γωνιῶν ἀριθμὸς τρίτον μέρος ἐστὶ τοῦ γενομένου ἀριθμοῦ, ὅσων δὲ πολυέδρων ἡ στερεὰ γωνία περιέχεται τέσσαρσιν ἐπιπέδοις, ἐξαριθμηθεισῶν πασῶν τῶν ἐπιπέδων γωνιῶν, ἃς ἔχουσιν αἱ ἕδραι τοῦ πολυέδρου, τοῦ γενομένου ἀριθμοῦ τὸ τέταρτον μέρος ἐστὶν ὁ ἀριθμὸς ὁ τῶν στερεῶν γωνιῶν τοῦ πολυέδρου· ὁμοίως δὲ καί, ὅσων πολυέδρων ἡ στερεὰ γωνία περιέχεται ὑπὸ $\overline{\varepsilon}$ γωνιῶν ἐπιπέδων, τὸ πέμπτον τοῦ πλήθους τῶν ἐπιπέδων γωνιῶν ἐστιν ὁ ἀριθμὸς τοῦ πλήθους τῶν στερεῶν γωνιῶν.

τῶν δὲ πλευρῶν τὸ πλῆθος, ἃς ἕκαστον ἔχει τῶν πολυέδρων, τόνδε τὸν τρόπον εὑρήσομεν. ἐξαριθμηθεισῶν γὰρ πασῶν τῶν πλευρῶν, ἃς ἔχει τὰ ἐπίπεδα

τὰ περιέχοντα τὸ πολύεδρον, ὁ ἀριθμὸς αὐτῶν δῆλον ὡς ἴσος ἐστὶν τῷ πλήθει τῶν ἐπιπέδων γωνιῶν. ἀλλ' ἐπειδὴ δύο ἐπιπέδων ἑκάστη τῶν πλευρῶν αὐτοῦ κοινή ἐστιν, δῆλον, ὅτι τοῦ πλήθους τὸ ἥμισυ αἱ πλευραί εἰσι τοῦ πολυέδρου.

τὸ μὲν οὖν πρῶτον τῶν ἀνομοιογενῶν $\overline{ιγ}$ πολυέδρων, ἐπεὶ περιέχεται τριγώνοις $\overline{δ}$ καὶ ἑξαγώνοις $\overline{δ}$, γωνίας μὲν ἔχει στερεὰς $\overline{ιβ}$, πλευρὰς δὲ $\overline{ιη}$. τῶν μὲν γὰρ τεσσάρων τριγώνων αἵ τε γωνίαι $\overline{ιβ}$ εἰσιν καὶ αἱ πλευραὶ $\overline{ιβ}$, τῶν δὲ $\overline{δ}$ ἑξαγώνων αἵ τε γωνίαι $\overline{κδ}$ εἰσιν καὶ αἱ πλευραὶ $\overline{κδ}$· γενομένου δὴ τοῦ ἀριθμοῦ παντὸς $\overline{λϛ}$ ἀναγκαῖόν ἐστιν τὸν μὲν τῶν στερεῶν γωνιῶν ἀριθμὸν τρίτον μέρος εἶναι τοῦ προειρημένου ἀριθμοῦ, ἐπεὶ καὶ ἑκάστη τῶν στερεῶν αὐτοῦ γωνιῶν ἐπιπέδοις γωνίαις περιέχεται $\overline{γ}$, τὸ δὲ τῶν πλευρῶν πλῆθος τὸ ἥμισυ τοῦ ἀριθμοῦ, τουτέστιν τοῦ $\overline{λϛ}$, ὥστε εἶναι πλευρὰς $\overline{ιη}$.

τῶν δὲ τετρακαιδεκαέδρων τὸ πρῶτον περιέχεται τριγώνοις $\overline{η}$ καὶ τετραγώνοις $\overline{ϛ}$, ὥστε ἔχειν στερεὰς μὲν γωνίας $\overline{ιβ}$· ἑκάστη γὰρ αὐτοῦ γωνία ὑπὸ τεσσάρων ἐπιπέδων γωνιῶν περιέχεται· πλευρὰς δὲ ἔχει $\overline{κδ}$. τὸ δὲ δεύτερον τῶν τετρακαιδεκαέδρων, ἐπεὶ περιέχεται τετραγώνοις $\overline{ϛ}$ καὶ ἑξαγώνοις $\overline{η}$, ἕξει στερεὰς μὲν γωνίας $\overline{κδ}$· ἑκάστη γὰρ τῶν γωνιῶν αὐτοῦ περιέχεται ὑπὸ $\overline{γ}$ γωνιῶν ἐπιπέδων· πλευρὰς δὲ ἔχει $\overline{λϛ}$.....[1])

τῶν δὲ ἑκκαιεικοσαέδρων τὸ μὲν πρῶτον, ἐπεὶ περι-

1) Lacunam cum Eisenmanno sic expleuit Hultschius: τὸ δὲ τρίτον τῶν τετρακαιδεκαέδρων, ἐπεὶ περιέχεται τριγώνοις $\overline{η}$ καὶ ὀκταγώνοις $\overline{ϛ}$, ἕξει στερεὰς μὲν γωνίας $\overline{κδ}$, πλευρὰς δὲ $\overline{λϛ}$. aliter scholiastes; u. p. 540 sq.

ἔχεται τριγώνοις τε η καὶ τετραγώνοις ιη, ἕξει στερεὰς μὲν γωνίας κδ, πλευρὰς δὲ μη. τὸ δὲ δεύτερον τῶν ἑκκαιεικοσαέδρων, ἐπεὶ περιέχεται τετραγώνοις ιβ καὶ ἑξαγώνοις η καὶ ὀκταγώνοις ϛ, ἕξει στερεὰς μὲν γωνίας μη, πλευρὰς δὲ οβ.

τῶν δὲ δυοκαιτριακονταέδρων τὸ μὲν πρῶτον, ἐπεὶ περιέχεται τριγώνοις τε κ καὶ πενταγώνοις ιβ, ἕξει στερεὰς μὲν γωνίας λ, πλευρὰς δὲ ξ. τὸ δὲ δεύτερον τῶν δυοκαιτριακονταέδρων, ἐπεὶ περιέχεται πενταγώνοις ιβ καὶ ἑξαγώνοις κ, ἕξει στερεὰς μὲν γωνίας ξ, πλευρὰς δὲ ϙ. τὸ δὲ τρίτον τῶν δυοκαιτριακονταέδρων, ἐπεὶ περιέχεται τριγώνοις τε κ καὶ δεκαγώνοις ιβ, ἕξει στερεὰς μὲν γωνίας ξ, πλευρὰς δὲ ϙ.

τὸ δὲ ὀκτωκαιτριακοντάεδρον, ἐπεὶ περιέχεται τριγώνοις τε λβ καὶ τετραγώνοις ἕξ, ἕξει στερεὰς μὲν γωνίας κδ, πλευρὰς δὲ ξ.

τῶν δὲ δυοκαιεξηκονταέδρων τὸ μὲν πρῶτον, ἐπεὶ περιέχεται τριγώνοις τε κ καὶ τετραγώνοις λ καὶ πενταγώνοις ιβ, ἕξει στερεὰς μὲν γωνίας ξ, πλευρὰς δὲ ρκ. τὸ δὲ λοιπὸν τῶν δυοκαιεξηκονταέδρων, ἐπεὶ περιέχεται τετραγώνοις λ καὶ ἑξαγώνοις κ καὶ δεκαγώνοις ιβ, ἕξει στερεὰς μὲν γωνίας ρκ, πλευρὰς δὲ ρπ.

τὸ δὲ δυοκαιενενηκοντάεδρον, ἐπεὶ περιέχεται τριγώνοις τε π καὶ πενταγώνοις ιβ, ἕξει στερεὰς μὲν γωνίας ξ, πλευρὰς δε ρν.

Haec omnia sine dubio iam ipse Archimedes proposuerat. cfr. de his polyedris Keppler, Harmon. mundi p. 62.

Scholia Vaticana in Pappum III p. 1171.[1]) 2

---

1) Hoc scholium in cod. Vaticano prauo ordine scriptum digessit Hultschius, quem secuti sumus, nisi quod δ′ lin. 1—5 suo loco reposuimus (cfr. Pappus III p. 1170).

α΄. ὀκτάεδρον ἔχει τρίγωνα $\overline{δ}$, ἑξάγωνα δὲ $\overline{δ}$, πλευρὰς $\overline{ιη}$, γωνίας δὲ στερεὰς $\overline{ιβ}$, ἑκάστη δὲ στερεὰ γωνία περιέχεται ὑπὸ $\overline{γ}$ γωνιῶν ἐπιπέδων, ὧν δύο μὲν ἑξαγωνικαί, μία δὲ τριγωνική, ὥστε λείπειν τῶν $\overline{δ}$ ὀρθῶν μιᾶς ὀρθῆς γωνίας δύο τριτημορίοις. τοῦτο γεννᾶται ἐκ τῆς πρώτης πυραμίδος διαιρουμένων τῶν πλευρῶν αὐτῆς εἰς $\overline{γ}$ ἴσα καὶ διὰ τῶν τομῶν ἐπιπέδων ἐκβαλλομένων καὶ τῶν γωνιῶν ἐκπιπτουσῶν.

β΄. τεσσαρεσκαιδεκάεδρον (sc. τὸ πρῶτον) περιέχεται ὑπὸ μὲν τριγώνων $\overline{η}$, ὑπὸ δὲ τετραγώνων $\overline{ϛ}$, ἔχει δὲ πλευρὰς $\overline{κδ}$, γωνίας δὲ στερεὰς $\overline{ιβ}$, ἑκάστη δὲ στερεὰ γωνία περιέχεται ὑπὸ $\overline{δ}$ γωνιῶν ἐπιπέδων, ὧν δύο μὲν τετραγωνικαί, $\overline{β}$ δὲ τριγωνικαί, ὥστε λείπειν τῶν $\overline{δ}$ ὀρθῶν μιᾶς γωνίας ὀρθῆς δύο τριτημορίοις. τοῦτο γεννᾶται ἐκ τοῦ κύβου διαιρουμένων δίχα τῶν πλευρῶν αὐτοῦ καὶ διὰ τῶν τομῶν ἐπιπέδων ἐκβαλλομένων τῶν $\overline{η}$ γωνιῶν ἐκπιπτουσῶν.

γ΄. τεσσαρεσκαιδεκάεδρον (sc. τὸ δεύτερον) περιέχεται ὑπὸ μὲν τετραγώνων $\overline{ϛ}$, ὑπὸ δὲ ἑξαγώνων $\overline{η}$, ἔχει δὲ πλευρὰς $\overline{λϛ}$, γωνίας δὲ στερεὰς $\overline{κδ}$, ἑκάστη δὲ στερεὰ γωνία περιέχεται ὑπὸ $\overline{γ}$ γωνιῶν ἐπιπέδων, ὧν δύο μὲν ἑξαγωνικαί, μία δὲ τετραγωνική. τοῦτο γεννᾶται ἐκ τοῦ ὀκταέδρου τεμνομένης τρίχα ἑκάστης τῶν αὐτοῦ πλευρῶν καὶ διὰ τῶν τομῶν ἐπιπέδων ἐκβαλλομένων καὶ τῶν $\overline{ϛ}$ γωνιῶν ἐκπιπτουσῶν.

δ΄. τὸ δὲ τρίτον (sc. τῶν τετρακαιδεκαέδρων), ἐπεὶ περιέχεται τριγώνοις $\overline{η}$ καὶ ὀκταγώνοις $\overline{ϛ}$, ἕξει στερεὰς μὲν γωνίας $\overline{κδ}$· ἑκάστη δὲ περιέχεται

ὑπὸ γ̄ γωνιῶν ἐπιπέδων, ὧν δύο ὀκταγωνικαί, μία δὲ τριγωνική· πλευρὰς δὲ ἔχει λϛ̄.[1]) *τοῦτο γεννᾶται ἐκ τοῦ κύβου τεμνομένης ἑκάστης αὐτοῦ πλευρᾶς οὕτως, ὥστε γίνεσθαι τρία τμήματα, ὧν τὸ μέσον ἑκατέρου τῶν ἄκρων διπλάσιόν ἐστιν δυνάμει.*

ε'. *ἐκκαιεικοσάεδρον* (sc. *τὸ πρῶτον*) *γεννᾶται ἐκ τοῦ τεσσαρεσκαιδεκαέδρου τοῦ περιεχομένου ὑπὸ η̄ τριγώνων καὶ ϛ̄ τετραγώνων τεμνομένης ἑκάστης αὐτοῦ πλευρᾶς δίχα καὶ διὰ τῶν τομῶν ἐκβαλλομένων ἐπιπέδων καὶ . . . . .*

Origenem huius fragmenti Archimedeam agnouit Hultschius III p. 1241.

Hinc satis adparet, Heronem Definit. 104 p. 66, 1 male 3 narrare:

Ἀρχιμήδης δὲ τριακαίδεκα ὅλα (scr. *ὅλως*) *φησὶν εὑρίσκεσθαι σχήματα δυνάμενα ἐγγραφῆναι τῇ σφαίρᾳ προστιθεὶς ὀκτὼ μετὰ τὰ εἰρημένα πέντε.*

non octo, sed tredecim noua polyedra Platonicis quinque adiecit Archimedes, quae omnia, ut illa quinque, in sphaeram inscribi possunt.

Sequitur apud Heronem l. c. p. 66, 4:

ὧν εἰδέναι καὶ Πλάτωνα τὸ τεσσαρεσκαιδεκάεδρον, εἶναί τε τοῦτο διπλοῦν, τὸ μὲν ἐξ ὀκτὼ τριγώνων καὶ τετραγώνων ἓξ σύνθετον, ἐκ γῆς καὶ ἀέρος, ὅπερ καὶ τῶν ἀρχαίων τινὲς ᾔδεσαν, τὸ δὲ ἕτερον πάλιν ἐκ τετραγώνων μὲν ὀκτώ, τριγώνων δὲ ϛ̄, ὃ καὶ χαλεπώτερον εἶναι δοκεῖ.

quorum uerborum nonnulla ad ipsum Archimedem referri, ipsa forma dicendi demonstrat; sed quod de altero polyedro XIV planorum dicitur, falsum est; u. supra p. 538.

1) His uerbis scholiastes expleuerat lacunam p. 538 not. 1.

De mensura circuli.

4 Diophanes 20[a] (Diophantus ed. Tannery II p. 22, 16).

Ἀπέδειξεν Ἀρχιμήδης, ὅτι τὰ $\bar{\lambda}$ τρίγωνα ἰσόπλευρα ἴσα ἐστὶν $\overline{\iota\gamma}$ τετραγώνοις.

H. e. $\sqrt{3} = 26:15$.

5 Hero, Metric. I, 37 p. 86, 22.

Δέδεικται δὲ Ἀρχιμήδει ἐν τῇ τοῦ Κύκλου μετρήσει, ὅτι πᾶς τομεὺς ἥμισύς ἐστι τοῦ περιεχομένου ὑπό τε τῆς τοῦ τομέως περιφερείας καὶ τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου, οὗ ἔστιν ὁ τομεύς.

Fragmentis 4 et 5, nisi illud ad opus infra fr. 6 citatum pertinet, confirmatur sententia Pauli Tannery (Mém. de la Soc. d. Sciences de Bordeaux², 1882, IV p. 313 sq.), libellum de dimensione circuli, qualem nunc eum habeamus, excerptum tantum esse ex genuino opere Archimedis.

Περὶ πλινθίδων καὶ κυλίνδρων.

6 Hero, Metric. I, 26 p. 66, 13.

Ὁ δὲ αὐτὸς Ἀρχιμήδης δείκνυσιν ἐν τῷ Περὶ πλινθίδων καὶ κυλίνδρων, ὅτι παντὸς κύκλου ἡ περίμετρος πρὸς τὴν διάμετρον μείζονα μὲν λόγον ἔχει, ἢ ὃν ἔχει $\overset{\kappa\alpha}{M}$ *͵$\overline{\alpha\omega o\varepsilon}$ πρὸς* $\overset{\varsigma}{M}$ *͵$\overline{\zeta\upsilon\mu\alpha}$, ἐλάσσονα δέ, ἢ ὃν ἔχει* $\overset{\iota\vartheta}{M}$ *͵$\overline{\zeta\omega\pi\eta}$ πρὸς* $\overset{\varsigma}{M}$ *͵$\overline{\beta\tau\nu\alpha}$.*

Numeros corruptos esse, adparet; nam et $\frac{211875}{67441}$ siue 3,14164 et $\frac{197888}{62351}$ siue 3,1737 maius est quam π siue 3,14159. hoc corrigemus, si pro ͵$\overline{\zeta\upsilon\mu\alpha}$ scripserimus ͵$\overline{\zeta\upsilon\mu\delta}$; nam $\frac{211875}{67444}$ = 3,14149. sed altera fractio nimis distat a π; quare cum T. N. Thiele astronomo, olim collega, pro ͵$\overline{\zeta\omega\pi\eta}$ scripserim ͵$\overline{\varepsilon\omega\pi\eta}$; nam $\frac{195888}{62351}$ = 3,1417. Paulus Tannery (Journal des Savants 1903 p. 205) pro ͵$\overline{\alpha\omega o\varepsilon}$ proposuit ͵$\overline{\alpha\omega o\beta}$, pro ͵$\overline{\zeta\omega\pi\eta}$ uero ͵$\overline{\varepsilon\omega\pi\beta}$.

De superficiebus et corporibus irregularibus.

Hero, Metric. I, 39 p. 90, 5. 7

Ἀναγκαῖον δέ, ὡς οἶμαι, πρὸς (scr. *καὶ*) *τὰς ἀτάκτους εἰπεῖν ἐπιφανείας, ὡς δέον αὐτὰς μετρεῖσθαι. εἰ μὲν οὖν ἐπιφάνεια ἐπίπεδός ἐστιν, ἡ δὲ περιέχουσα αὐτὴν γραμμὴ ἄτακτος ὑπάρχει, δεήσει ἐπ' αὐτῆς τῆς γραμμῆς λαβεῖν τινα συνεχῆ σημεῖα, ὥστε τὰς ἐπιζευγνυούσας αὐτὰ κατὰ τὸ ἑξῆς εὐθείας γραμμὰς μὴ κατὰ πολὺ ἀπᾴδειν τῆς περιεχούσης τὸ σχῆμα γραμμῆς, καὶ οὕτως ὡς πολύγωνον μετρεῖν εἰς τρίγωνα καταδιαιροῦντα. εἰ δὲ οὐκ ἔστιν ἐπίπεδος ἡ ἐπιφάνεια, ἀλλ' ὥσπερ ἀνδριάντος ἢ ἄλλου τινὸς τοιούτου, δεῖ λαβόντα χάρτην ὅτι λεπτότατον ἢ σινδόνα περιτείνειν κατὰ μέρος ἐπὶ τὴν ἐπιφάνειαν αὐτοῦ, ἄχρι ἂν περιειληφθῇ, εἶτα ἐκτείναντα τὸν χάρτην ἢ τὴν σινδόνα εἰς ἐπίπεδον μετρεῖν περιεχομένην ὑπὸ ἀτάκτου γραμμῆς, ὡς προείρηται, καὶ ἀποφαίνεσθαι τὸ ἐμβαδὸν τῆς ἐπιφανείας. εἰ δέ τινές εἰσιν ἕτεραι ἐπιφάνειαι ἢ σχήματα ἐπιφανειῶν, μετρηθήσεται ἐκ τῶν προειρημένων.*

Id. II, 1 p. 92, 3.

Μετὰ τὴν τῶν ἐπιφανειῶν μέτρησιν εὐθυγράμμων τε καὶ μὴ κατὰ τὸ ἀκόλουθον ἐπὶ τὰ στερεὰ σώματα χωρητέον, ὧν καὶ τὰς ἐπιφανείας ἐν τῷ πρὸ τούτου βιβλίῳ ἐμετρήσαμεν ἐπιπέδους τε καὶ σφαιρικὰς ἔτι τε κωνικὰς καὶ κυλινδρικάς, πρὸς δὲ τούτοις ἀτάκτους, ὧν τὰς ἐπινοίας ὥσπερ παραδόξους οὔσας τινὲς εἰς Ἀρχιμήδην ἀναφέρουσιν κατὰ διαδοχὴν ἱστοροῦντες.[1] *εἴτε δὲ Ἀρχιμήδους εἴτε ἄλλου τινός, ἀναγκαῖον καὶ ταύτας προσυπογράψαι.*

---

1) H. e. traditionem secuti.

8 Hero, Metric. II, 20 p. 138, 6.

Τῶν δὴ ἐν τάξει στερεῶν σωμάτων μετρηθέντων εὔλογον ὑπολαμβάνομεν καὶ τὰ ἄτακτα, οἷον ῥιζώδη ἢ πετρώδη, παριστορῆσαι τῇ μετρήσει, ὡς ἔνιοι ἱστοροῦσι τὸν Ἀρχιμήδη ἐπινενοηκέναι πρὸς τὰ τοιαῦτα μέθοδον. εἰ μὲν γὰρ εὐμετάφορον εἴη τὸ μέλλον μετρεῖσθαι, δεήσει δεξαμενὴν πάντῃ ὀρθογωνίαν ποιήσαντα δυναμένην δέξασθαι, ὃ βουλόμεθα μετρηθῆναι, πληρῶσαι ὕδατος καὶ ἐμβαλεῖν τὸ ἄτακτον σῶμα· δῆλον δὴ οὖν, ὅτι ὑπερχυθήσεται τὸ ὕδωρ, καὶ τοσοῦτόν γε, ὅσος ἐστὶν ὁ τοῦ ἐμβληθέντος σώματος εἰς τὸ ὕδωρ ὄγκος, ἐξαρθέντος τοῦ σώματος πάλιν ἐκ τῆς δεξαμενῆς ἐλλιπὲς ἔσται. μετρήσαντες οὖν τὸν ἐκκεκενωμένον τόπον ἀποφανούμεθα τοσούτου εἶναι τὸ στερεὸν τοῦ ἐμβληθέντος σώματος. ἢ καὶ ἄλλως δυνατόν ἐστι τὸ αὐτὸ μετρῆσαι· ἐὰν γὰρ προσπλασθῇ τὸ ἄτακτον σῶμα κηρῷ ἢ πηλῷ, ὥστε γενέσθαι ἀποκρυβὲν πάντῃ ὀρθογώνιον, καὶ τοῦτο μετρήσαντες ἀφέλωμεν τὸν πηλὸν καὶ ὀρθογώνιον πλάσαντες ἐκμετρήσωμεν καὶ ἀφέλωμεν ἀπὸ τοῦ πρότερον μετρηθέντος, τὸ καταλειπόμενον ἀποφανούμεθα τὸ τοῦ σώματος στερεόν. τῇ δὲ τοῦ περιπλάσματος μεθόδῳ χρῆσθαι δεῖ ἐπὶ τῶν μὴ δυναμένων μετατίθεσθαι σωμάτων.

Ex ipsis uerbis Heronis adparet, fragmenta 7 et 8 non ex aliquo opere Archimedis desumpta esse, sed methodos ibi expositas traditione tantum historica, fortasse Eudemi uel Posidonii, ad eum relatas esse.

Appendix libri II de sphaera et cylindro.

9 De sphaera et cyl. II, 4 p. 192, 5.

ἑκάτερα δὲ ταῦτα ἐπὶ τέλει ἀναλυθήσεταί τε καὶ συντεθήσεται.

Hanc demonstrationem, quae iam saeculo fere II a. Chr. in editionibus uulgaribus suo loco non legebatur (u. I p. 193 not.), Eutocius, sine dubio in bibliotheca Alexandrina, inuenerat et in commentario ad librum De sphaera et cylindro II, 4 suis uerbis proposuit; cfr. ZMP. XXV p. 51 not.

Πρὸς Ζεύξιππον.

Arenar. I, 3 p. 216, 17. 10

τῶν ὑφ' ἁμῶν κατωνομασμένων ἀριθμῶν καὶ ἐκδεδομένων ἐν τοῖς ποτὶ Ζεύξιππον γεγραμμένοις.

summam huius libri habemus Arenar. III, 2—4; cfr. III, 1 p. 236, 17:

χρήσιμον δὲ εἶμεν ὑπολαμβάνω τὰν κατονόμαξιν τῶν ἀριθμῶν ῥηθῆμεν, ὅπως καὶ τῶν ἄλλων οἱ τῷ βιβλίῳ μὴ περιτετευχότες τῷ ποτὶ Ζεύξιππον γεγραμμένῳ μὴ πλανῶνται διὰ τὸ μηδὲν εἶμεν ὑπὲρ αὐτᾶς ἐν τῷδε τῷ βιβλίῳ προειρημένον.

Mechanica.[1]

Hero, Mechan. I, 24 p. 62, 22. 11

Daß man von Schwerkraft und Neigung in Wahrheit nur bei Körpern redet, wird niemand abweisen. Wenn wir aber bei geometrischen Figuren, körperlichen und ebenen, sagen,

---

1) Cfr. Pappus VIII, 3 p. 1026, 5: *Πάντων δὲ τούτων* (sc. artis mechanicae partium) *τὴν αἰτίαν καὶ τὸν λόγον ἐπεγνωκέναι φασίν τινες τὸν Συρακόσιον Ἀρχιμήδη· μόνος γὰρ οὗτος ἐν τῷ καθ' ἡμᾶς βίῳ ποικίλῃ πρὸς πάντα κέχρηται τῇ φύσει καὶ τῇ ἐπινοίᾳ, καθὼς καὶ Γεμῖνος ὁ μαθηματικὸς ἐν τῷ περὶ τῆς τῶν μαθημάτων τάξεώς φησιν.* quot uero opera de aequilibrio scripserit Archimedes, incertum est, maxime propter obscuritatem titulorum Arabice tantum traditorum; sed uidentur tria minimum fuisse praeter librum II de planorum aequilibriis, quem seorsum editum fuisse credo. eiusdem operis librum I excerptum esse suspicor ex eo opere, quod Archimedes ipse *Μηχανικά* uel *Στοιχεῖα τῶν μηχανικῶν* uocat. eo referenda fortasse De mechan. propp. method. lemm. 1, 3, 4, 7.

daß der Neigungs- und der Schwerpunkt ein gewisser Punkt sei, so hat das Archimedes zur Genüge erläutert. Man muß es also verstehen auf Grund dessen, was wir jetzt darüber auseinandersetzen. Posidonius, ein Stoiker, hat den Schwer- und Neigungspunkt in einer natürlichen Definition bestimmt und gesagt: der Schwer- oder Neigungspunkt ist ein solcher Punkt, daß, wenn die Last in demselben aufgehängt wird, sie in zwei gleiche Teile geteilt wird. Deshalb haben Archimedes und seine Anhänger[1]) in der Mechanik diesen Satz spezialisiert und einen Unterschied gemacht zwischen dem Aufhängepunkt und dem Schwerpunkt. Was nun den Aufhängepunkt betrifft, so ist es ein solcher Punkt auf dem Körper oder Nichtkörper, daß, wenn der aufzuhängende Gegenstand daran aufgehängt wird, seine Teile sich im Gleichgewicht befinden, damit meine ich, daß er nicht schwankt und sich nicht neigt. Denn Gleichgewicht tritt ein, wenn ein Gegenstand dem andern an Gewicht gleich ist,[2]) wie es bei den Wagen der Fall ist, wenn sie parallel der Ebene des Horizontes oder einer derselben parallelen Ebene schwanken.[3]) So sagt Archimedes: Lasten neigen sich nicht auf[4]) einer Linie und auf einem Punkte. Auf einer Linie wird, wenn die Last auf zwei Punkten jener Linie ruht, so daß die Linie sich nicht neigt, und die durch jene Linie senkrecht zum Horizont gelegte Ebene, wie immer auch die Linie bewegt werden mag, senkrecht bleibt, die Last sich durchaus nicht neigen. Wenn wir sagen: die Last neigt sich, so meinen wir damit nur ihr Sichsenken nach unten, d. h. ihre Bewegung nach der Erde zu. Was aber das Gleichgewicht auf einem Punkte betrifft, so tritt es ein, wenn die Last im demselben aufgehängt ist, und die Teile des Körpers bei jeder Bewegung,

---

1) H. e. *οἱ περὶ Ἀρχιμήδην* siue Archimedes ipse.
2) Cfr. Archimedes De plan. aequil. I post. 1.
3) H. e. *ἐκκρέμαται* uel *ἐκτέταται*.
4) H. e. *ἰσορροποῦσι κατά.* sententia est: hoc est, quod Archimedes *ἰσορροπεῖν κτλ.* uocat.

die er macht, gleichmäßig zu einander liegen. Eine Last hält einer anderen das Gleichgewicht, wenn sie an zwei Punkten einer in zwei Hälften geteilten Linie und in dem Teilungpunkt dieser Linie aufgehängt sind, und diese Linie dem Horizont parallel ist, nachdem die Beträge der Lasten zu einander im Verhältnis stehen wie die Beträge ihrer verwechselten Abstände von ihren Aufhängepunkten. Daß in dieser Weise aufgehängte Lasten einander das Gleichgewicht in der Neigung halten, hat Archimedes in seinen Schriften über das Gleichgewicht an Figuren, bei denen Hebel zur Anwendung kommen,[1]) bewiesen.

Cfr. Pappus VIII, 5 p. 1030, 11:

λέγομεν δὲ κέντρον βάρους ἑκάστου σώματος εἶναι σημεῖόν τι κείμενον ἐντός, ἀφ' οὗ κατ' ἐπίνοιαν ἀρτηθὲν τὸ βάρος ἠρεμεῖ φερόμενον[2]) *καὶ φυλάσσει τὴν ἐξ ἀρχῆς θέσιν οὐ μὴ περιτρεπόμενον ἐν τῇ φορᾷ.*[2]) *τοῦτο δὲ τὸ σημεῖον οὐ μόνον ἐν τοῖς τεταγμένοις ἀλλὰ κἀν τοῖς ἀτάκτως ἐσχηματισμένοις εὑρίσκεται σώμασιν ὑπάρχον ἐφόδῳ τινὶ θεωρούμενον τοιαύτῃ*, qua exposita addit VIII, 8 p. 1034, 1: *τὸ μὲν οὖν μάλιστα συνέχον τὴν κεντροβαρικὴν πραγματείαν τοῦτ' ἂν εἴη, μάθοις δ' ἂν τὰ μὲν στοιχειώδη ὄντα διὰ ταύτης δεικνύμενα τοῖς Ἀρχιμήδους περὶ ἰσορροπιῶν ἐντυχών.*[3])

Simplicius in Aristot. de caelo p. 543, 24:

τὰ μὲν οὖν κεντροβαρικά, οἷα πολλὰ καὶ χαριέστατα

---

1) De plan. aequil. I, 6—7. cfr. de eadem propositione Hero, Mechan. I, 32 p. 86, 37: Das hat Archimedes in seinen Schriften, die den Titel führen „Schriften über die Hebel", bewiesen; ibid. II, 7 p. 114, 5: Dies hat Archimedes in seiner Schrift über das Ausgleichen der Neigung (*περὶ ἰσορροπιῶν*?) bewiesen.

2) H. e. sublatum, suspensum.

3) De centro grauitatis ab Archimede definito Giov. Vailati, Atti della R. Accademia delle Scienze di Torino XXXII (9/V 1897) = Scritti (Firenze 1911) p. 79.

ὅ τε Ἀρχιμήδης καὶ ἄλλοι γεγράφασι πολλοί, σκοπὸν ἔχει, πῶς τοῦ δοθέντος βάρους τὸ κέντρον εὑρεθείη, τουτέστι σημεῖόν τι ἐπὶ τοῦ σώματος, ἀφ' οὗ σπάρτου τινὸς ἐξαφθείσης μετεωριζόμενον ἀκλινὲς ἔσται τὸ σῶμα.

12 Archimedes, Quadr. parab. 6 p. 274, 12.

ἕκαστον γὰρ τῶν κρεμαμένων, ἐξ οὗ σαμείου κα κατασταθῇ, μένει, ὥστε κατὰ κάθετον εἶμεν τό τε σαμεῖον τοῦ κρεμαστοῦ καὶ τὸ κέντρον τοῦ βάρεος τοῦ κρεμαμένου· δέδεικται γὰρ καὶ τοῦτο.

13 Archimedes, *Περὶ ὀχουμένων* II, 2 p. 350, 13.

δέδεικται γὰρ ἐν ταῖς Ἰσορροπίαις, ὅτι παντὸς ὀρθογωνίου κωνοειδέος τμάματος τὸ κέντρον τοῦ βάρεός ἐστιν ἐπὶ τοῦ ἄξονος διῃρημένου οὕτως, ὥστε τὸ ποτὶ τᾷ κορυφᾷ τοῦ ἄξονος τμᾶμα διπλάσιον εἶμεν τοῦ λοιποῦ.

Cfr. De mechan. propp. method. 5.

Eodem referenda esse uidentur De mechan. propp. method. lemm. 8, 9, 10 de centris grauitatum cylindri, prismatis, coni.

14 Pappus VIII, 24 p. 1068, 19.

ἀπεδείχθη γὰρ ἐν τῷ Περὶ ζυγῶν Ἀρχιμήδους καὶ τοῖς Φίλωνος καὶ Ἥρωνος Μηχανικοῖς, ὅτι οἱ μείζονες κύκλοι κατακρατοῦσιν τῶν ἐλασσόνων κύκλων, ὅταν περὶ τὸ αὐτὸ κέντρον ἡ κύλισις αὐτῶν γίνηται.[1]

15 Pappus VIII, 19 p. 1060, 2.

τῆς αὐτῆς δέ ἐστιν θεωρίας τὸ δοθὲν βάρος τῇ δοθείσῃ δυνάμει κινῆσαι· τοῦτο γὰρ Ἀρχιμήδους μὲν εὕρημα λέγεται μηχανικόν, ἐφ' ᾧ λέγεται εἰρηκέναι· δός μοι, φησί, ποῦ στῶ, καὶ κινῶ τὴν γῆν.[2]

---

1) Cfr. Hero, Mechan. II, 7.
2) Cfr. Quaest. Archim. p. 10 not. 6.

Hero, Mechan. I, 25 p. 70, 4. 16

Es ist nun dringend notwendig, einige Erklärungen über den Druck, den Transport und das Tragen mit Rücksicht auf die Quantität zu geben, wie sie sich zu einer Einleitung eignen. Denn Archimedes hat bereits über diesen Teil ein sicheres Verfahren in seinem Buche, das den Titel „Buch der Stützen“ führt, eingeschlagen. Wir wollen davon das übergehen, was wir für andre Dinge nötig haben, und jetzt davon das, was sich auf den Betrag der Quantität bezieht, benützen, wie es sich für die Studierenden eignet. Der allgemeine Gesichtspunkt hierbei ist dieser: wenn man beliebig viele Säulen hat, und auf diesen Querbalken oder eine Mauer liegen, und zwar in gleicher oder verschiedener Lage auf den beiden äußersten derselben, so daß sie über eine derselben oder beide zugleich hinausragen, und wenn die Entfernung zwischen den Säulen gleich oder verschieden ist, so wollen wir erfahren, wie viel von der Last jede der Säulen trifft.[1])

Κατοπτρικά.

Theo in Ptolemaei Synt. I p. 10 ed. Basil. 17

καὶ τῶν ἀπ' αὐτῆς (sc. *τῆς ὄψεως*) *ἐπὶ τὸν ἀέρα προσπιπτουσῶν ἀκτίνων κλάσιν ὑπομενουσῶν καὶ μείζονα ποιουσῶν τὴν πρὸς τῇ ὄψει γωνίαν, καθὰ καὶ Ἀρχιμήδης ἐν τοῖς Περὶ κατοπτρικῶν ἀποδεικνύων φησίν, ὅτι* [*καθάπερ*][2]) *καὶ τὰ εἰς ὕδωρ ἐμβαλλόμενα μείζονα φαίνεται, καὶ ὅσῳ κάτω χωρεῖ, μείζονα.* et paullo infra: *καὶ κεκλάσθωσαν ἐπὶ τὰ Α, Β, ὡς* <*αἱ*> *ΕΘΑ, ΕΚΒ, καθὰ καὶ Ἀρχιμήδης ἐν τοῖς Περὶ κατοπτρικῶν, ὡς ἔφαμεν.*

---

1) Sicut certum est, ex iis, quae apud Heronem de hac re sequuntur (capp. 26—28, 30—31), potiora Archimedi deberi, ita difficile est haec ab Heronianis secernere.

2) Uidetur delendum.

18 Olympiodorus in Aristotelis Meteorolog. p. 211, 18 ed. Busse (II p. 94 ed. Ideler).


ἄλλως τε καὶ Ἀρχιμήδης αὐτὸ τοῦτο δείκνυσιν, ὅτι κλᾶται ἡ ὄψις, ἐκ τοῦ δακτυλίου τοῦ ἐν ἀγγείῳ βαλλομένου.

Cfr. Pseudo-Euclides, Catoptr. post. 6 p. 286, 17:

ἐὰν εἰς ἀγγεῖον ἐμβληθῇ τι καὶ λάβῃ ἀπόστημα ὡς μηκέτι ὁρᾶσθαι, τοῦ αὐτοῦ ἀποστήματος ὄντος ἐὰν ὕδωρ ἐγχυθῇ, ὀφθήσεται τὸ ἐμβληθέν.

19 Scholl. in Pseudo-Euclidis Catoptr. nr. 7 p. 348, 17.

ὁ δὲ Ἀρχιμήδης οὕτω λέγει· ὅτι ἡ Z γωνία τῇ E ἢ ἴση ἐστὶν ἢ ἐλάττων ἢ μείζων. ἔστω πρότερον[1] *μείζων ἡ Z τῆς E· ἐλάττων ἄρα ἡ E. ὑποκείσθω οὖν πάλιν ὄμμα τὸ Δ, καὶ ἀπὸ τοῦ ὄμματος πάλιν ἀνακεκλάσθω ἐπὶ τὸ ὁρώμενον τὸ B· ἔσται ἄρα ἡ E γωνία μείζων τῆς Z. ἦν δὲ καὶ ἐλάττων· ὅπερ ἄτοπον.*[2]



20 Apuleius, Apologia 16.

quibus (sc. philosophis) praeter ista, quae dixi, etiam illa ratiocinatio necessaria est, cur in planis quidem speculis ferme pares obtutus et imagines uideantur, in tumidis uero et globosis omnia defectiora, at contra in cauis auctiora; ubi et cur laeua cum dexteris permutentur; quando se imago eodem speculo tum recondat penitus, tum foras exserat; cur caua specula, si exaduersum soli retineantur, appositum fomitem accendant;[3] qui fiat, ut arcus in nubibus uarie, duo soles aemula similitudine uisantur, alia

---

1) Scilicet si prius *B* oculum, *Δ* rem uisam supponimus.

2) Et eodem modo ratiocinandum, si supponimus $Z < E$. ergo $Z = E$.

3) Hinc Tzetzes, Chil. XII, 973, inter scripta Archimedis refert *κατόπτρων τὰς ἐξάψεις*. cfr. Pseudo-Euclidis Catoptr. 30.

praeterea eiusdem modi plurima, quae tractat uolumine ingenti Archimedes Syracusanus.

Pseudo-Psellus, Synops. mathem. p. 73 ed. Xylandri.[1]) 21

δυνατὸν μέντοι καὶ ἄλλως ἀπορίᾳ διόπτρας τῇ μεθόδῳ χρήσασθαι, καθὰ δήπου καὶ Ἀρχιμήδης, ὅς ποτέ τινων ἐρομένων περὶ τῆς ὑπ' ὄψιν πυραμίδος, ὁπόση ἂν εἴη τὸ μέγεθος, τὴν ῥάβδον ἑτοίμως ὄρθιον πρὸς τὴν ἐξ ἡλίου τῆς πυραμίδος καταπήξας σκιάν, ὡς τὰς ἀμφοῖν τῆς τε ῥάβδου καὶ τῆς πυραμίδος ἐξ ἴσου συναποπερατοῦσθαι σκιάς, καὶ δύο ἐντεῦθεν ἀποτελέσας ἰσογώνια τρίγωνα αὐτόθεν ἐπήγαγεν· ὃν λόγον ἡ ἐν ἐπιπέδῳ κειμένη σκιὰ τῆς ῥάβδου πρὸς αὐτὴν ἔχει τὴν ῥάβδον, τὸν αὐτὸν καὶ ἡ ἐν ἐπιπέδῳ τῆς πυραμίδος σκιὰ πρὸς αὐτὴν ἔχει τὴν πυραμίδα· καὶ λοιπὸν τῇ διαμετρήσει τῆς σκιᾶς τῆς πυραμίδος τὸ τῆς πυραμίδος ὕψος τοῖς ἐρωτήσασι δῆλον κατέστησεν.

Cfr. Euclidis Opt. 18 et 19—21.

Περὶ σφαιροποιίας.

Carpus apud Pappum VIII, 3 p. 1026, 9. 22

Κάρπος δέ πού φησιν ὁ Ἀντιοχεὺς Ἀρχιμήδη τὸν Συρακόσιον ἓν μόνον βιβλίον συντεταχέναι μηχανικὸν τὸ κατὰ τὴν σφαιροποιίαν,[2]) *τῶν δὲ ἄλλων οὐδὲν ἠξιωκέναι συντάξαι.*

Cfr. Proclus in Eucl. p. 41, 16:

---

1) Hunc locum dedi e codd. Palat. 281 et Mutin. 90.

2) Cfr. Pappus VIII, 2 p. 1026, 2: *μηχανικοὺς δὲ καλοῦσιν καὶ τοὺς τὰς σφαιροποιίας ποιεῖν ἐπισταμένους, ὑφ' ὧν εἰκὼν τοῦ οὐρανοῦ κατασκευάζεται δι' ὁμαλῆς καὶ ἐγκυκλίου κινήσεως ὕδατος.* hinc Hultschius (ZMP. 1877 p. 106 sq.) conclusit, sphaeram Archimedis aqua motam fuisse; sed uereor, ne *ὕδατος* aut corruptum sit aut ex p. 1024, 28—29 irrepserit.

ἡ σφαιροποιία κατὰ μίμησιν τῶν οὐρανίων περιφορῶν, οἵαν καὶ Ἀρχιμήδης ἐπραγματεύσατο.

Huc refero Macrobii locum in Somn. Scipion. II, 3: Et Archimedes quidem stadiorum numerum deprehendisse se credidit, quibus a terrae superficie luna distaret et a luna Mercurius, a Mercurio Venus, sol a Venere, Mars a sole, a Marte Iupiter, Saturnus a Ioue; sed et a Saturni orbe usque ad ipsum stelliferum caelum omne spatium se ratione emensum putauit. quae tamen Archimedis dimensio a Platonicis repudiata est quasi dupla et tripla interualla non seruans.

Hinc, opinor, Plinius inter auctores libri II Naturalis historiae Archimedem rettulit; cfr. Nat. hist. II, 8 et 15—16.

Cfr. Hippolytus, Refutat. omn. haeres. ed. Duncker, p. 66, 52:

καὶ ἀπόστημα δὲ ἀπὸ τῆς ἐπιφανείας τῆς γῆς ἐπὶ τὸν σεληνιακὸν κύκλον ὁ μὲν Σάμιος Ἀρίσταρχος ἀναγράφει σταδίων .... ὁ δὲ Ἀρχιμήδης μυριάδ. φνδ καὶ μονάδ. ͵δρλ,[1] *ἀπὸ δὲ τοῦ σεληνιακοῦ ἐπὶ τὸν τοῦ ἡλίου κύκλον σταδίων μυριάδ. ͵εκϛ*[2] *καὶ μονάδ. ͵βξε, ἀπὸ τοῦδε ἐπὶ τὸν τῆς Ἀφροδίτης κύκλον σταδίων μυριάδ. ͵βκζ καὶ μονάδας ͵βξε, ἀπὸ τοῦδε ἐπὶ τὸν τοῦ Ἑρμοῦ κύκλον σταδίων μυριάδ. ͵επα μονάδ. ͵ζρξε, ἀπὸ τούτου δὲ ἐπὶ τὸν τοῦ Πυρόεντος κύκλον σταδίων μυριάδ. ͵δνδ μονάδ. ͵αρη, ἀπὸ τούτου δὲ ἐπὶ τὸν τοῦ Διὸς κύκλον σταδίων μυριάδ. ͵βκζ μονάδας ͵εξε, ἀπὸ*

1) Cfr. p. 68, 98: *περὶ ἧς μόνης καὶ πιστεῦσαι τις ἂν Ἀρχιμήδη ἀποστάσεως, τουτέστι τῆς σεληνιακῆς ἀπὸ γῆς ... εἰ δὴ κατὰ τὸν Ἀρχιμήδην ἀπὸ τῆς ἐπιφανείας τῆς γῆς ἡ σελήνη ἀφέστηκε σταδίων μυριάδ. φνδ σταδίους ͵δρλ ...*, p. 70, 33: *εἰ δὴ πιστὸν τὸν Ἀρχιμήδην ἡγησάμεθα ἐν μόνῳ τῷ πρώτῳ ἀποστήματι τῷ ἀπὸ σελήνης μέχρι γῆς ..... ἔστω δὴ κατὰ τὸν Ἀρχιμήδην τὸ ἀπὸ γῆς μέχρι σελήνης ἀπόστημα σταδίων μυριάδ. φνδ μονάδων ͵δρλ.*

2) *͵εκζ* p. 70, 16, ubi numeri sequentes usque ad *͵βξε* repetuntur, nisi quod *͵επα* et *͵ζρξε* exciderunt.

τούτου δὲ ἐπὶ τὸν τοῦ Κρόνου κύκλον σταδίων μυριάδ. ͵δλζ μονάδ. ͵βξε, ἀπὸ τούτου δὲ ἐπὶ τὸν ζῳδιακὸν καὶ τὴν ἐσχάτην περιφέρειαν σταδίων μυριάδ. ͵βη μονάδ. ͵με (fort. ͵βε cum Dunckero). τὰ μὲν ἀπ' ἀλλήλων διαστήματα τῶν κύκλων καὶ τῶν σφαιρῶν βάθη τε ὑπὸ τοῦ Ἀρχιμήδους ἀποδίδοται· τοῦ δὲ ζῳδιακοῦ τὴν περίμετρον λαμβάνει σταδίων δευτέρων ἀριθμῶν δ καὶ μυριάδ. ͵δψλα· ὥστε συμβαίνειν τὴν ἐκ τοῦ κέντρου τῆς γῆς εὐθεῖαν ἄχρι τῆς ἐπιφανείας τῆς ἐσχάτης τὸ ἕκτον εἶναι τοῦ λεχθέντος ἀριθμοῦ,[1]) τὴν δὲ ἀπὸ τῆς ἐπιφανείας τῆς γῆς, ἐφ' ἧς βεβήκαμεν, ἄχρι τοῦ ζῳδιακοῦ ⟨τοῦ⟩ ἄρτι ῥηθέντος ἕκτον (scrib. ἕκτου) τοῦ ἀριθμοῦ λεῖπον (scrib. λείπειν) τέτρασι μυριάσι σταδίων, ὅ ⟨ἐστιν⟩ ἐκ τοῦ κέντρου τῆς γῆς μέχρι τῆς ἐπιφανείας αὐτῆς. ἀπὸ τοῦ Κρόνου δὲ κύκλου ἐπὶ τὴν γῆν φησι τὸ διάστημα σταδίων δευτέρων ἀριθμῶν εἶναι μονάδ. δύο καὶ μυριάδ. ͵βσξθ καὶ μονάδ. ͵βψια, ἀπὸ τοῦ δὲ τοῦ Διὸς κύκλου ἐπὶ γῆν σταδίων δευτέρων ἀριθμῶν μονάδ. β καὶ μυριάδ. σοζ καὶ μονάδας χμϛ, ἀπὸ δὲ τοῦ Πυρόεντος κύκλου ἐπὶ γῆν δευτέρων ἀριθμῶν μονάδ. μίαν καὶ μυριάδ. ͵γσμα καὶ μονάδ. ͵ηφπα, ἀφ' ἡλίου ⟨δὲ⟩ ἐπὶ γῆν δευτέρων ἀριθμῶν μονάδ. μίαν καὶ μυριάδ. ͵βρξ καὶ μονάδας ͵δυνδ, ἀπὸ δὲ τοῦ Στίλβοντος ἐπὶ τὴν γῆν μυριάδ. ͵εσξη μονάδας ͵ησνθ, ἀπὸ δὲ Ἀφροδίτης ἐπὶ γῆν μυριάδ. ͵επα μονάδ. ͵ερξ.[2]) ... τὰ μὲν οὖν ἀποστήματα καὶ βάθη τῶν σφαιρῶν οὕτως Ἀρχιμήδης ἀποδίδωσιν ..... οἱ δ' ἐκτεθέντες ὑπὸ Ἀρχιμήδους ἀριθμοὶ καὶ ὑπὸ τῶν ἄλλων περὶ τῶν

1) Sumitur igitur $\pi = 3$.
2) De his omnibus numeris dubiis u. Paulus Tannery, Mémoires scientifiques (Paris 1912) I p. 393.

ἀποστημάτων λεγόμενοι λόγοι, εἰ μὴ ἐν συμφώνοις εἶεν λόγοις, τουτέστι τοῖς ὑπὸ Πλάτωνος εἰρημένοις διπλασίοις καὶ τριπλασίοις, ἔξω δὲ συμφωνιῶν εὑρισκόμενοι, οὐκ ἂν σώζοιεν τὸ καθ' ἁρμονίαν κατεσκευάσθαι τὸ πᾶν ..... ὅτι δὲ οἱ λοιποὶ[1]*) ἀριθμοὶ οἱ ὑπ' Ἀρχιμήδους περὶ τῆς ἀποστάσεως τῶν πλανωμένων λεγόμενοι οὐκ ἐν συμφώνοις λόγοις, ῥᾴδιον γνῶναι, πῶς ἔχουσι πρὸς ἀλλήλους καὶ ἐν τίσι λόγοις εἰσί, κατανοήσαντες.*

De anni magnitudine.

23 Hipparchus apud Ptolemaeum, Synt. III, 1 p. 194, 23. *ἐκ μὲν οὖν τούτων τῶν τηρήσεων δῆλον, ὅτι μικραὶ παντάπασιν γεγόνασιν αἱ τῶν ἐνιαυτῶν διαφοραί· ἀλλ' ἐπὶ μὲν τῶν τροπῶν οὐκ ἀφελπίζω καὶ ἡμᾶς καὶ τὸν Ἀρχιμήδη καὶ ἐν τῇ τηρήσει καὶ ἐν τῷ συλλογισμῷ διαμαρτάνειν καὶ ἕως τετάρτου μέρους ἡμέρας.*

Cfr. Ammianus Marcellinus XXVI, 1, 8: spatium anni uertentis id esse periti mundani motus et siderum definiunt ueteres, inter quos Meton et Euctemon et Hipparchus et Archimedes excellunt, cum sol perenni rerum sublimium lege polo percurso signifero, quem Zodiacum sermo Graecus adpellat, trecentis et sexaginta quinque diebus emensis et noctibus ad eundem redierit cardinem.

---

1) Sc. praeter numeros Lunae.

REPRINT 2011



www.degruyter.com
ISBN 978-3-11-107918-9